Νικηφόρου Καλλίστου Ξανθοπούλου

Ἀθανασίου τοῦ Παρίου

ΣΥΝΑΞΑΡΙΑ

Ὅλων τῶν Κυριακῶν καί τῶν ἐπισήμων ἡμερῶν
Τοῦ ΤΡΙΩΔΙΟΥ καί ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ

Συντεθέντα μέν εἰς τήν ἑλληνικήν
ὑπό ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ τοῦ Ξανθοπούλου
μεταφρασθέντα δέ εἰς τήν ἁπλῆν ἡμῶν διάλεκτον
ὑπό τοῦ ἐν ἱερομονάχοις ἐλαχίστου
ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΠΑΡΙΟΥ
ἀξιώσει καί προτροπῇ τοῦ πανιερωτάτου καί
Σεβασμιωτάτου Ἁγίου Κορίνθου
Κυρίου ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΝΟΤΑΡΑ

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΚΑΙΣΑΡΙΑΝΗΣ, ΒΥΡΩΝΟΣ ΚΑΙ ΥΜΗΤΤΟΥ
ΚΑΙΣΑΡΙΑΝΗ 2019

ΣΥΝΑΞΑΡΙΑ

ΟΛΩΝ ΤΩΝ ΚΥΡΙΑΚΩΝ ΚΑΙ ΤΩΝ ΕΠΙΣΗΜΩΝ ΗΜΕΡΩΝ.

ΤΟΥ ΤΡΙΩΔΙΟΥ ΚΑΙ ΤΟΥ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ

ΣΥΝΤΕΘΕΝΤΑ ΜΕΝ ΕΛΛΗΝΙΣΤΙ ΥΠΟ

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ ΤΟΥ **ΞΑΝΘΟΠΟΥΛΟΥ**

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ ΔΕ ΕΙΣ ΤΗΝ ΑΠΛΗΝ ΗΜΩΝ ΔΙΑΛΕΚΤΟΝ

ΥΠΟ ΤΟΥ ΕΝ ΙΕΡΟΜΟΝΑΧΟΙΣ ΕΛΑΧΙΣΤΟΥ.

ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΠΑΡΙΟΥ

ΑΞΙΩΣΕΙ ΚΑΙ ΠΡΟΤΡΟΠΗ ΤΟΥ ΠΑΝΙΕΡΩΤΑΤΟΥ ΚΑΙ ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ

ΑΓΙΟΥ ΚΟΡΙΝΘΟΥ ΚΥΡΙΟΥ

ΜΑΚΑΡΙΟΥ ΤΟΥ ΝΟΤΑΡΑ.

Εἶναι δὲ τὰ Συναξάρια ταῦτα ἐξήγησις καὶ διδασκαλία, τῆς ὑποθέσεως κάθε μιᾶς Κυριακῆς, καὶ Ἑορτῆς, διδάσκουσα δηλαδὴ, διὰ ποίαν αἰτίαν, ἐξ ἀρχῆς ὑπὸ τῶν Ἁγίων καὶ Θεοφόρων Πατέρων ἐτάχθησαν τοιούτου εἴδους νὰ γίνωνται καὶ νὰ ψάλλωνται· καὶ ἐνταυτῷ, ὁ Σοφὸς καὶ Ἱερὸς οὗτος Ἀνὴρ, κάμνει καί τινας παρατηρήσεις ἁρμοδίας, εἰς κάθε μίαν ὑπόθεσιν· ἀρχίζουν δὲ τὰ Συναξάρια ταῦτα, ἀπὸ τὴν Κυριακὴν τοῦ Τελώνου καὶ Φαρισαίου, καὶ τελειόνουσιν εἰς τὴν Κυριακὴν τῶν Ἁγίων Πάντων.

Συναξάρια Τριῳδίου καὶ Πεντηκοσταρίου

Σειρά: «Πνοή» ἀριθμ. 10

«Συναξάρια Τριῳδίου καί Πεντηκοσταρίου»

Κείμενα:
Νικηφόρου Καλλίστου Ξανθοπούλου
Ἀθανασίου τοῦ Παρίου

Στοιχειοθεσία, Διακόσμησις, Ἐπιμέλεια Ἐκδόσεως:
ΕΠΤΑΛΟΦΟΣ ΑΒΕΕ, Ἀρδηττοῦ 12-16, 116 36
Τηλ.: +30 2109217513 • Fax: +30 2109237033
www.eptalofos.gr • e-mail: info@eptalofos.gr

Copyright:
Ἱερά Μητρόπολις Καισαριανῆς, Βύρωνος καί Ὑμηττοῦ.
Λεωφόρος Φορμίωνος 83, Τ.Κ. 161 21 Καισαριανή
Τηλ.: 210 72.24.123
www.imkby.gr e-mail: info@imkby.gr

ISBN: 978-618-5390-03-7

Νικηφόρου Καλλίστου Ξανθοπούλου
Ἀθανασίου τοῦ Παρίου

Συναξάρια Τριῳδίου καὶ Πεντηκοσταρίου




ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΚΑΙΣΑΡΙΑΝΗΣ, ΒΥΡΩΝΟΣ ΚΑΙ ΥΜΗΤΤΟΥ
ΚΑΙΣΑΡΙΑΝΗ 2019

Περιεχόμενα

Εἰσαγωγικόν εἰς τήν παροῦσαν ἔκδοσιν 11
Νικηφόρος Κάλλιστος Ξανθόπουλος..... 15
Ἀθανάσιος ὁ Πάριος 19
Κυριακή τοῦ Τελώνου καί Φαρισαίου.....23
Κυριακή τοῦ Ἀσώτου 35
Σάββατον τῶν Ψυχῶν 43
Κυριακή τῶν Ἀπόκρεῳ.
(Τῆς μελλούσης Κρίσεως) 59
Σάββατον τῶν Ὁσίων Πατέρων 69
Κυριακή τῆς Τυρινῆς
(Τῆς ἐξόδου ἐκ τοῦ Παραδείσου) 75
Σάββατον Α΄ Ἑβδομάδος Νηστειῶν 89
Κυριακή Α΄ Ἑβδομάδος Νηστειῶν
(Τῆς Ὀρθοδοξίας) 93
Κυριακή Β΄ Ἑβδομάδος Νηστειῶν
(Γρηγορίου τοῦ Παλαμᾶ) 111
Κυριακή Γ΄ Ἑβδομάδος Νηστειῶν
(Τῆς Σταυροπροσκυνήσεως) 133
Κυριακή Δ΄ Ἑβδομάδος Νηστειῶν
(Ἰωάννου τῆς Κλίμακος) 139
Πέμπτη τοῦ Μεγάλου Κανόνος 141
Σάββατον τοῦ Ἀκαθίστου Ὕμνου 147
Κυριακή Ε΄ Ἑβδομάδος Νηστειῶν
(Μαρίας τῆς Αἰγυπτίας) 159

Σάββατον τοῦ Λαζάρου 161
Κυριακή τῶν Βαΐων..... 169
Ἁγία καί Μεγάλη Δευτέρα 173
Ἁγία καί Μεγάλη Τρίτη 181
Ἁγία καί Μεγάλη Τετάρτη 187
Ἁγία καί Μεγάλη Πέμπτη 199
Ἁγία καί Μεγάλη Παρασκευή 215
Ἅγιο καί Μεγάλο Σάββατον 233
Ἁγία καί Μεγάλη Κυριακή τοῦ Πάσχα..... 241
Παρασκευή τῆς Διακαινησίμου Ἑβδομάδος
(Τῆς Ζωοδόχου Πηγῆς)..... 251
Κυριακή τοῦ Ἀντίπασχα *(Τοῦ Θωμᾶ)*.....259
Κυριακή τῶν Μυροφόρων *(Γ΄ ἀπό τοῦ Πάσχα)*...267
Κυριακή τοῦ Παραλύτου *(Δ΄ ἀπό τοῦ Πάσχα)*....275
Τῆς Μεσοπεντηκοστῆς.....283
Κυριακή τῆς Σαμαρείτιδος *(Ε΄ ἀπό τοῦ Πάσχα)*..289
Κυριακή τοῦ Τυφλοῦ *(ΣΤ΄ ἀπό τοῦ Πάσχα)*..... 301
Τῆς Θείας Ἀναλήψεως 311
Κυριακή τῶν Ἁγίων Πατέρων τῆς Α΄ Οἰκ. Συνόδου
(Ζ΄ ἀπό τοῦ Πάσχα).....317
Κυριακή τῆς Ἁγίας Πεντηκοστῆς
(Η΄ ἀπό τοῦ Πάσχα).....329
Δευτέρα τοῦ Ἁγίου Πνεύματος.....335
Κυριακή τῶν Ἁγίων Πάντων.....345





Εἰσαγωγικόν
εἰς τήν παροῦσαν ἔκδοσιν

Ὅλων τῶν ἡμερῶν καί τῶν περιόδων τοῦ ἔτους ὑπερέχουν οἱ περίοδοι τοῦ Τριωδίου καί τοῦ Πεντηκοσταρίου. Ἡ περίοδος τοῦ Τριωδίου ἀρχίζει τήν Κυριακή τοῦ Τελώνου καί Φαρισαίου καί τελειώνει τό Ἅγιον καί Μεγάλον Σάββατον. Τήν Κυριακή τοῦ Πάσχα ἀρχίζει τό Πεντηκοστάριον πού κλείνει μέ τήν Κυριακή τῶν Ἁγίων Πάντων. Τίς δύο περιόδους ἑνώνει ἡ πανσεβάσμιος ἑορτή τῶν ἑορτῶν καί πανήγυρις τῶν πανηγύρεων τῆς πανενδόξου ἀναστάσεως τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

Οἱ τά πάντα διαταξάμενοι θεοφόροι Πατέρες καί Διδάσκαλοι τῆς Ἐκκλησίας ἐνέταξαν σ' αὐτές τίς περιόδους τίς Κινητές λεγόμενες ἑορτές πού ἐξαρτῶνται ὅλες ἀπό τήν Κυριακή τοῦ Πάσχα.

Ἀποτελοῦν οἱ ἑορτές αὐτές μία πνευματική πορεία πού ὁδηγεῖ τόν ἀπομακρυνθέντα ἄνθρωπο τῆς κοινωνίας τοῦ Θεοῦ λόγῳ τοῦ ἐγωϊσμοῦ του (Φαρισαϊσμός) καί τῆς ἁμαρτίας του (Τελωνισμός) στήν κοινωνία μέ τόν Θεό (Ἅγιοι Πάντες) ἀφοῦ προηγουμένως ἔχει διέλθει, μετανοήσει, ἔχει καθαρθεῖ, ἔχει φωτισθεῖ, ἔχει δεχθεῖ τήν δωρεά

τοῦ Ἁγίου Πνεύματος ὁμολογώντας τήν πίστη του στόν Κύριο Ἰησοῦ Χριστό καί τηρώντας τίς ἐντολές τοῦ Θεοῦ, ὑπακούοντας καί ἐφαρμόζοντας τό ἅγιο θέλημα τοῦ Θεοῦ καί ἀποκτώντας τίς θεουργές ἀρετές πού τοῦ δίδουν τόν χαρακτήρα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ πού εἶναι ἡ «εἰκών τοῦ Θεοῦ τοῦ ἀοράτου» (Κολοσ. α΄, 15).

Εἶναι προφανής ἡ παιδευτική ἀξία αὐτῶν τῶν περιόδων γιά τούς πιστούς. Οἱ θεῖοι Ποιμένες τῆς Ἐκκλησίας ἐξήγησαν τήν σημασία καί τό νόημα τῶν ἑορτῶν τῶν δύο περιόδων στά λεγόμενα Συναξάρια, πού ἀποτελοῦν ὑπομνήματα θεολογικά, ἁγιογραφικά, ποιμαντικά τῶν γεγονότων πού προβάλλονται κάθε φορά.

Ἐπειδή αὐτά τά κείμενα δέν εἶναι εὐρύτερα γνωστά ἀπό τούς πιστούς θεωρήσαμε ὅτι ἐπιβάλλεται νά τά προβάλλουμε μέ μία ἔκδοσή τους. Στήν παροῦσα ἔκδοση περιλαμβάνονται: πρῶτον μέν τά κείμενα ὅπως δημοσιεύονται στά λειτουργικά βιβλία στούς οἰκείους τόπους τῶν ἡμερῶν. Αὐτά ἔχουν συνταχθεῖ ἀπό τόν κορυφαῖον καί λίαν πεπαιδευμένον λογιώτατον μοναχόν Νικηφόρον Κάλλιστον Ξανθόπουλον ὅστις ἐποίει τάς διατριβάς αὐτοῦ ἐν τῷ ναῷ καί τῇ βιβλιοθήκῃ τῆς Ἁγίας Σοφίας ἐν Κωνσταντινουπόλει, ἔνθα ἐπί πλείονα ἔτη εἰργάσθη διά τήν συγγραφήν τῶν ἔργων του καί ἔνθα ἐνδιητάτο ὡς ὁ ἴδιος ἀφήνει νά ἐννοηθεῖ (*Migne,* P.G. τ. 145, στ. 609C). Δεύτερον τά ἴδια κείμενα πρός διευκόλυνση τῶν πιστῶν τά μεταγλώττισε ὁ


διαπρεπής μέγας Διδάσκαλος τοῦ Γένους διακριθείς «ἐπ' ἀρετῇ καί παιδείᾳ καί διά ποικίλην ἐθνικοθρησκευτικήν δρᾶσιν» Ἀθανάσιος ὁ Πάριος καί ἔχουν δημοσιευθεῖ στήν ἁγιολογική συλλογή «Νέον Λειμωνάριον» (Ἀθῆναι 1973, σελ. 493-563).

Στήν παροῦσα ἔκδοση παραθέτουμε χρήσιμες πληροφορίες περί τῶν δύο συντακτῶν τῶν δημοσιευομένων μελετῶν ὥστε ὁ ἀναγνώστης νά πληροφορηθεῖ τά ἀναγκαῖα περί τῶν δύο τούτων θείων ἀνδρῶν.

Στήν ἔκδοση προηγοῦνται τά κείμενα τοῦ Νικηφόρου Ξανθοπούλου σημειούμενα μέ τό γράμμα -Α΄- καί ἀκολουθοῦν τοῦ Ἀθανασίου Παρίου σημειούμενα μέ τό γράμμα -Β΄- ὅπως χρονολογικά συνετάχθησαν. Ἐπειδή τά κείμενα αὐτά ἀποτελοῦν καί ἄριστα μνημεῖα λόγου δέν ἐπενέβημεν εἰς τήν ἔκφρασιν, εἰς τήν ὀρθογραφίαν καί γενικῶς στήν μορφή τοῦ λόγου θεωροῦντες κι αὐτό μιά προσφορά στούς φιλογενεῖς ἀναγνῶστες πού δέν στερεῖ καί ἀπό τούς λοιπούς οὔτε τήν χάριν τοῦ ἕλληνος λόγου οὔτε τήν χάριν τοῦ πνεύματος τῆς Ἁγίας Ἐκκλησίας μας.

Ὁ Καισαριανῆς,
Βύρωνος καί Ὑμηττοῦ
Δανιήλ

Ἔγραφα τήν 1η Σεπτεμβρίου 2018 τῆς Ἰνδίκτου
τοῦ ἐκκλησιαστικοῦ ἔτους 2018-19 στήν Καισαριανή.


NI
KHΦO
POC
IAN
ΘO
ΠOV
ΛOC

Νικηφόρος Κάλλιστος Ξανθόπουλος

Ὁ Νικηφόρος Κάλλιστος ὑπῆρξε λόγιος κληρικός τοῦ 14ου αἰῶνος, Κωνσταντινουπολίτης μοναχός, ὁ ὁποῖος ἤκμασε ἐπί τῆς βασιλείας τοῦ Ἀνδρόνικου τοῦ Παλαιολόγου. Πατέρας του ἦταν ὁ Ξανθόπουλος Κάλλιστος. Ἐκτός ἀπό τά ἄλλα θεολογικά συγγράμματα ὁ Νικηφόρος ἔγραψε καί *«Συναξάρια εἰς τάς ἐπισήμους τοῦ Τριῳδίου ἑορτάς»*.

Βίος

Ἤκμασε κατά τό β΄ ἥμισυ τοῦ ΙΓ΄ καί τάς τρεῖς πρώτας δεκαετίας τοῦ ΙΔ΄ αἰῶνος ἐν Βυζαντίῳ, διακριθείς ὡς ἱστορικός, ἐξηγητής τῶν Γραφῶν, τῶν Πατέρων καί τῶν Ὑμνογράφων, ποιητής ἐκκλησιαστικῶν ὕμνων καί ἐπιγραμμάτων, ἁγιολόγος καί λειτουργιολόγος.

Ὅποιος ἐπιθυμεῖ δύναται νά ἀνεύρει πληροφορίες περαιτέρω περί τοῦ βίου αὐτοῦ στήν Πατρολογία καί σχετικές ἐκδόσεις βιογραφιῶν τῶν ἐκκλησιαστικῶν συγγραφέων τῆς περιόδου.

Ἔργα

Τό ἐπιβλητικόν εἰς ὄγκον καί ποικίλον εἰς μορφήν καί περιεχόμενον συγγραφικόν ἔργον τοῦ Νικηφόρου Ξανθοπούλου ἐτοποθέτησεν αὐτόν εἰς τήν κορυφήν τοῦ πνευματικοῦ βίου

τῶν τριῶν πρώτων δεκαετιῶν τοῦ ΙΔ΄ αἰῶνος ἐν Βυζαντίῳ. Τά ἔργα τοῦ Νικηφόρου διαιροῦμεν εἰς Ἱστορικά, Ποιητικά, Ἁγιολογικά - Λειτουργιολογικά, Ἐξηγητικά καί Διάφορα.

Α΄. Ἱστορικά

1) *«Ἐκκλησιαστικῆς ἱστορίας βιβλία ιη΄»*. Ἔκδοσις τοῦ ἔργου εὕρηται ἐν *PG* 144 - 177.

2) *«Διήγησις περί τῶν ἐπισκόπων Βυζαντίου καί τῶν πατριαρχῶν πάντων Κωνσταντινουπόλεως»*.

3) *«Περί συστάσεως τοῦ σεβασμίου οἴκου τῆς ἐν Κωνσταντινουπόλει Ζωοδόχου Πηγῆς καί τῶν ἐν αὐτῷ ὑπερφυῶς τελεσθέντων θαυμάτων»*. Τό ἔργον ἀποτελεῖ βασικήν ἱστορικήν πηγήν τοῦ μεγάλου καί ἀρχαιοτάτου τούτου κέντρου εὐσεβείας τῶν Βυζαντινῶν χρόνων, τό ὁποῖον διεσώθη μέχρι σήμερον καί εἶναι γνωστόν μέ τό τουρκικόν ὄνομα Βαλουκλῆ.

Β΄. Ποιητικά

– *Ἱστορικοῦ περιεχομένου.*

– *Ἁγιολογικοῦ καί ὑμνολογικοῦ περιεχομένου.*

Γ΄. Ἁγιολογικά - Λειτουργιολογικά

Μεταξύ αὐτῶν περιλαμβάνεται καί τό: *«Συναξάρια εἰς τάς ἐπισήμους τοῦ Τριῳδίου μίαν ἑκάστην αὐτῶν αἰτιολογοῦντα, πῶς ποτε τό κατ' ἀρχάς γέγονε καί δι' ἥν αἰτίαν ὡς νῦν ἔχουσι παρά τῶν Ἁγίων καί Θεοφόρων ἡμῶν Πατέρων ἐτάχθησαν, μετά τινων ἐπιστάσεων μερικῶν, ἀρχόμενα ἀπό*

τοῦ Τελώνου καί Φαρισαίου καί καταλήγοντα μέχρι τῶν Ἁγίων Πάντων· ὀφείλει τοίνυν τό τοῦ Μηναίου Συναξάριον ἐν τῇ ἑβδόμῃ ὡς ἔθος πρῶτον ἀναγινώσκεσθαι μετέπειτα δέ τά παρόντα».

Δ΄. Ἐξηγητικά

Ε΄. Διάφορα

Τά Συναξάρια εἰς τάς ἑορτάς τοῦ Τριῳδίου: Ἐτυπώθη εἰς τούς οἰκείους τόπους πολλῶν ἐκδόσεων τοῦ Τριῳδίου.

ΣΤΥΛ. Γ. ΠΑΠΑΔΟΠΟΥΛΟΣ


Γι
ὁ Ἅ
ος
Cl
Ἀθανά
ος
ὁ Πάριος

Ἀθανάσιος ὁ Πάριος

Βιογραφικά

Μέγας Διδάσκαλος τοῦ Γένους καί διαπρεπής θεολόγος, διακριθείς «ἐπ' ἀρετῇ καί παιδείᾳ» καί διά ποικίλην ἐθνικοθρησκευτικήν καί θεολογικήν δρᾶσιν ἀπό τῶν μέσων τοῦ ΙΗ΄ μέχρι τῶν ἀρχῶν τοῦ ΙΘ΄ αἰῶνος. Πρωτότοκος υἱός τοῦ ἐκ Σίφνου καταγομένου Ἀποστόλου Τουλίου, μητρός δέ Παρίας, ἐγεννήθη ἐν χωρίῳ Κώστῳ τῆς νήσου Πάρου μεταξύ τῶν ἐτῶν 1721-1722.

Τυχών ἐπιμελοῦς παιδεύσεως καί ἀγωγῆς παρά τοῦ «λίαν εὐκαταστάτου» πατρός του, ἐδιδάχθη τά μέν πρῶτα γράμματα ἐν τῇ γενετείρᾳ, ἐν συνεχείᾳ δέ τά ἐγκύκλια εἰς ἀνώτερα ἐκπαιδευτήρια. Τοιαῦτα ἐλειτούργουν κατά τάς ἡμέρας του εἰς τήν περιοχήν τῶν Κυκλάδων: Ἡ Σχολή μονῆς Ἁγ. Ἀθανασίου Ναούσης Πάρου, ἡ τοῦ «Παναγίου Τάφου» Σίφνου, ἡ Σχολή τοῦ Γένους Ἄνδρου. Εἰς τήν τελευταίαν αὐτήν ἐστέλλοντο κατ' ἔτος πέντε ἐκ τῶν πρωτευόντων Παρίων μαθητῶν, δαπάναις τῆς μονῆς Ἁγ. Ἀντωνίου Κεφάλου, Πάρου.

Τό 1745, ὁ Ἀθανάσιος «ἐν πᾶσι», κατά τούς βιογράφους του, «πρωτεύων» καί «φύσει ὀρεγόμενος τοῦ εἰδέναι», ἀνεχώρησεν εἰς Σμύρνην ὅπου, παραμένων πλησίον ἑνός συγγενοῦς, ἐνεγράφη καί παρηκολούθησε μαθήματα εἰς τήν ἐκεῖ Σχολήν τοῦ Γένους, τήν κατόπιν περιώνυμον «Εὐαγγελικήν

Σχολήν». Αὕτη ἐλειτούργει ἀπό τοῦ ἔτους 1733 ὑπό τήν διεύθυνσιν τοῦ καί ἱδρυτοῦ αὐτῆς λογίου Ἰθακησίου μοναχοῦ ἱεροθέου Δενδρινοῦ.

Μετά ἑπταετεῖς ἐκεῖ σπουδάς, ὅπου διήκουσε μαθήματα καί τοῦ ἰατροφιλοσόφου Χριστοδούλου ἀδελφοῦ Γαβριήλ τοῦ Δ΄, τότε πατριάρχου Κωνσταντινουπόλεως, ἀνεχώρησε τό 1752 εἰς Ἅγιον Ὄρος, ὅπου ἐνεγράφη εἰς τήν περιώνυμον Σχολήν Ἀθωνιάδος. Τήν διηύθυνε τότε ὁ ἐκ Πατρῶν εὐρυμαθέστατος μοναχός Νεόφυτος ὁ Καυσοκαλυβίτης, ὁ καί ἱδρυτής της. Τοῦτον διεδέχθη τό 1753 ὁ «νέος Ἀριστοτέλης τῆς Ἑλλάδος», κάτοχος πάσης θεολογικῆς καί θύραθεν σοφίας, ὁ ἐκ Κερκύρας Εὐγένιος Βούλγαρις, ἱεροδιάκονος τότε. Καί πάλιν ὁ Ἀθανάσιος ἀνεδείχθη «ἐν πᾶσι πρωτεύων» ὡς τοῦτο μαρτυρεῖται ὑπό τῶν βιογράφων του (Ν. Ἀρκᾶ, *Ἀθανάσιος ὁ Πάριος*, Ἀθῆναι 1960, σ. 21). Διά τοῦτο καί ἐχρημάτισε, μετά τετραετεῖς ἐν Ἀθωνιάδι σπουδάς, «συγκαθηγητής» τοῦ διευθυντοῦ τοῦ Εὐγενίου.

Ἡ φήμη τῆς παιδείας του καί ἡ ἐκτίμησις τοῦ ἤθους του τόν ἔκαμαν περιζήτητον ὡς διδάσκαλον ἀπό τίς ἀκμάζουσες τότε Σχολές τοῦ Γένους. Ἔτσι δίδαξε στήν Κέρκυραν, στό Μεσολόγγι, στό Ἅγιον Ὄρος καί στήν Κωνσταντινούπολη.

Οὕτως εἰργάσθη ἀκαμάτως ὁ μέγας διδάσκαλος μέχρι τοῦ 90οῦ ἔτους τῆς ἡλικίας του, ὅτε, νοσταλγῶν τόν ἡσυχαστικόν βίον, παρητήθη καί ἀπεσύρθη εἰς μονύδριον τοῦ Ἁγ. Μεγαλομάρτυρος Γεωργίου Ρεστῶν.

Τόση, ὅμως, ἦτο ἀκόμη ἡ διαύγεια τῆς διανοίας του, τῶν νεύρων του ἡ ἀντοχή, ἰδίᾳ δέ ἡ «σιδηρᾶ θέλησίς» του, ὥστε ν' ἀποδυθῇ εἰς ὀγκώδεις συγγραφάς, «νά γράφῃ καί

θνήσκων» ὅπως χαρακτηριστικῶς σημειώνει ὁ Κ. Γ. Ναυπλιώτης («*Κυκλαδικά*», Ἀθῆναι 1930, σ. 57). Καί τό τέλος δέ τόν εὗρεν ἐργαζόμενον, τήν 24ην Ἰουνίου τοῦ 1813.

Συγγράμματα

Πανθομολογουμένως ὁ Ἀθανάσιος ἀνεδείχθη συγγραφεύς πολυγραφώτατος καί μεγάλης ὁλκῆς διανοητής κατά τήν ἐποχήν του.

Τό πλῆθος ἀφ' ἑνός καί ἡ ποικιλία τῶν ἔργων αὐτοῦ δύνανται νά τά κατατάξωσιν εἰς τάς ἑξῆς ἕξ κατηγορίας.

Α΄. Ἀπολογητικά

Β΄. Δογματικοκανονικά

Γ΄. Λειτουργιολογικά

Δ΄. Παιδαγωγικά

Ε΄. Βιογραφίαι

Στήν ἑνότητα αὐτή ἀνήκουν καί τά Συναξάρια ὅλων τῶν Κυριακῶν καί τῶν μεγάλων ἑορτῶν Νικηφ. Καλλίστου.

ΣΤ΄. Ποιητικά

Ζ΄. Ὁμιλίαι - Λόγοι

Η΄. Ἐπιστολαί

Διά τούς ἐνδιαφερομένους νά πληροφορηθοῦν πλείονα περί τοῦ μεγάλου τούτου ἀνδρός παρέχονται στήν πλειάδα τῶν εἰδικῶν μελετῶν περί αὐτοῦ.

ΝΙΚΟΛ. ΕΜΜ. ΑΡΚΑΣ


Η ΠΑΡΑΒΟΛΗ ΤΟΥ ΤΕΛΩ ΝΟΥ Κ ΤΟΥ ΦΑΡΙΣΑΙΟΥ



ΚΥΡΙΑΚΗ
ΤΟΥ ΤΕΛΩΝΟΥ ΚΑΙ ΦΑΡΙΣΑΙΟΥ

Τῇ αὐτῇ ἡμέρᾳ τῆς τοῦ τελώνου καί τοῦ φαρισαίου ἐν τῷ ἱερῷ Εὐαγγελίῳ παραβολῆς μνείαν ποιούμεθα.

Α΄

Κατά τήν παροῦσαν ἡμέραν σύν Θεῷ καί τοῦ Τριῳδίου ἀρχόμεθα, ὅ πολλοί μέν τῶν ἁγίων καί θεοφόρων μουσουργῶν ἡμῶν πατέρων ἄριστα καί ὡς ἐχρῆν, ὑπό τοῦ Ἁγίου κινούμενοι Πνεύματος, ἐμελούργησαν. Πρῶτος δέ πάντων τοῦτ' ἐπενόησε, τάς τρεῖς, φημί, τῶν ᾠδῶν, εἰς τύπον, οἶμαι, τῆς ἁγίας καί ζωαρχικῆς Τριάδος, ὁ μέγας ποιητής Κοσμᾶς, ἐν τῇ μεγάλῃ καί ἁγίᾳ τῶν παθῶν τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἑβδομάδι, κατά τήν ὀνομασίαν σχεδόν ἑκάστης ἡμέρας διά τῶν ἀκροστιχίδων ἐπινοήσας τά μέλη, ἐξ οὗπερ καί οἱ λοιποί τῶν πατέρων, καί μᾶλλον τῶν ἄλλων Θεόδωρός τε καί Ἰωσήφ οἱ Στουδῖται, κατά ζῆλον ἐκείνου, κἄν ταῖς λοιπαῖς ἑβδομάσι τῆς ἁγίας καί μεγάλης Τεσσαρακοστῆς συνταξάμενοι, τῇ αὐτῶν μονῇ τοῦ Στουδίου πρῶτον παραδεδώκασιν, ἐπί μᾶλλον τάς ᾠδάς κατατάξαντες καί ῥυθμί-

σαντες, καί τἆλλα τοῦ βιβλίου, ὁθενδήποτε παρά τῶν πατέρων ἀθροίσαντες καί ἐρανισάμενοι. Ἐπεί οὖν τήν πρώτην τῶν ἡμερῶν ἡ Κυριακή περικλείει ὡς ἀναστάσιμος, πρώτη τε οὖσα καί ὀγδόη καί τελευταία, ἀρίστως διαπραττόμενοι, τῇ δευτέρᾳ τῶν ἡμερῶν τήν πρώτην ἀνέθεντο τῶν ᾠδῶν, τῇ δ' αὖ γε τρίτῃ τῶν ἡμερῶν τήν δευτέραν, καί τῇ τετάρτῃ τήν τρίτην, τῇ δέ πέμπτῃ τήν τετάρτην, καί τῇ ἕκτῃ τήν πέμπτην· τῇ δέ ἑβδόμῃ, τῷ Σαββάτῳ δηλαδή, αὐτήν τε τήν ἕκτην καί τήν ἑβδόμην καί τάς λοιπάς δύω, ἅς ἐπικοίνως πᾶσαι τῶν ἡμερῶν ὡς κυριωτέρας ἔχουσιν· ὥσπερ δή καί ὁ θεῖος Κοσμᾶς ἐν τῷ Μεγάλῳ Σαββάτῳ τέθεικε, τετραῴδιον ἐκεῖσε πεποιηκώς, κἄν ἐσύστερον ὁ σοφώτατος βασιλεύς Λέων κελεύσας εἰς τέλειον κανόνα διά τοῦ ἐπισκόπου Ἰδροῦντος, τοῦ μοναχοῦ Μάρκου, εἰργάσατο. Καταχρηστικῶς δέ Τριῴδιον ὀνομάζεται· οὐ γάρ ἀεί τριῴδια ἔχει· καί γάρ ὁλοτελεῖς κανόνας προβάλλεται· ἀλλ' οἶμαι ἀπό τοῦ πλεονάζοντος τήν ἐπωνυμίαν λαβεῖν· ἤ διά τά τῆς μεγάλης Ἑβδομάδος, ὡς εἴρηται, πρῶτον γινόμενα.

24

Σκοπός μέντοι τοῖς ἁγίοις ἡμῶν πατράσι διά τῆς βίβλου τοῦ Τριῳδίου παντός ἐν συντόμῳ τό πᾶν τῆς περί ἡμᾶς τοῦ Θεοῦ εὐεργεσίας ἐξ ἀρχῆς ἀναμνῆσαι καί εἰς ὑπόμνησιν πᾶσιν ἐνθεῖναι· ὅπως παρ' αὐτοῦ πλασθέντες καί τήν δοθεῖσαν πρός γυμνασίαν ἐντολήν ἀθετήσαντες, τῆς τρυφῆς τοῦ παραδείσου ἐξώσθημεν

καί ἀπερρίφημεν φθόνῳ τοῦ ἀρχεκάκου ὄφεως καί ἐχθροῦ, καταβληθέντος δι' ἔπαρσιν· καί ὅπως ἐμένομεν ἀπερριμμένοι τῶν ἀγαθῶν καί ὑπό τοῦ διαβόλου ἀγόμενοι· ὅπως τε ὁ Υἱός τοῦ Θεοῦ καί Λόγος, σπλάγχνοις οἰκείοις παθών, κλίνας οὐρανούς κατέβη καί Παρθένον ᾤκησε καί δι' ἡμᾶς ἐγένετο ἄνθρωπος, καί διά τῆς κατ' αὐτόν πολιτείας τήν εἰς οὐρανούς ἄνοδον ἐνεφάνισε, διά ταπεινώσεως προηγουμένως καί νηστείας καί ἀποχῆς τῶν κακῶν, καί τῶν λοιπῶν αὐτοῦ πράξεων· ὅπως τε ἔπαθε καί ἀνέστη καί εἰς οὐρανούς ἀνελήλυθεν αὖθις καί τό Πνεῦμα τό Ἅγιον ἐξαπέστειλε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καί ἀποστόλοις· καί ὅπως Υἱός Θεοῦ καί Θεός τέλειος παρά τούτων κατά πάντα ἀνεκηρύχθη· τί τε αὖθις οἱ θεῖοι ἀπόστολοι διά τῆς χάριτος τοῦ παναγίου ἐνήργησαν Πνεύματος· ὅτι τοῦ ἐκ περάτων ἁγίους πάντας ἐνταυτῷ συνηγάγοντο διά τοῦ κηρύγματος, ἀναπληρώσαντας τόν ἄνω κόσμον· ὅ δή καί σκοπός ἦν ἀρχῆθεν τῷ κτίσαντι. Ἀλλ' ἐν τούτοις μέν ὁ τοῦ Τριῳδίου σκοπός.

Αἱ μέν τοι παροῦσαι τρεῖς ἑορταί, τοῦ τελώνου καί τοῦ φαρισαίου, τοῦ ἀσώτου καί τῆς δευτέρας παρουσίας, ὥσπερ τις προγυμνασία καί παρακίνησις τοῖς ἁγίοις πατράσιν ἐπενοήθησαν, ὥστε παρασκευασθῆναι καί ἑτοίμους ἡμᾶς γενέσθαι πρός τούς πνευματικούς ἀγῶνας τῶν νηστειῶν, τήν ἐξ ἔθους μυσαράν ἕξιν ἀπολιπόντας. Καί δή πρῶτον πάντων τήν τοῦ τελώνου καί

τοῦ φαρισαίου παραβολήν ἡμῖν ἐκτιθέασι, καί *Προφώνησιν* τήν ἑβδομάδα κατονομάζουσιν. Ὥσπερ γάρ οἱ πρός τούς σωματικούς πολέμους ἀπιέναι μέλλοντες ὑπό τῶν στρατηγῶν τόν τοῦ πολέμου καιρόν προεκμανθάνουσιν, ὡς ἄν, τά ξίφη διακαθάραντες καί στιλβώσαντες καί τ' ἄλλα πάντα καλῶς διασκευασάμενοι καί πᾶν ἐμποδών ἐκ μέσου πεποιηκότες, πρός τούς ἀγῶνας προθύμως ἐναποδύσωνται καί τό πρός χρείαν περιποιήσωνται· πολλάκις δέ καί πρό τῆς συμβολῆς καί λόγους καί ἱστορίας καί παραδείγματα αὐτοῖς ἐπιφέρουσιν, εἰς ζῆλον ὑπερεθίζοντες τάς ἐκείνων ψυχάς, τόν τε ὄκνον καί δειλίαν καί ῥαθυμίαν καί ἄλλο εἴ τι κινδυνῶδες ἀποτρεπόμενοι· οὕτω καί οἱ θεῖοι πατέρες προσαλπίζουσι τήν ἐσομένην τῆς νηστείας κατά τῶν δαιμόνων παράταξιν, ὡς ἄν, εἴ τι ταῖς ψυχαῖς ἡμῶν προκατειλημμένον πάθος καί ἰόν τῷ μακρῷ ἐργασάμενοι χρόνῳ ἀποκαθάραντες, ἔτι δέ καί ὅ μή ἔχομεν τῶν ἀγαθῶν, σπουδάσαντες κτησώμεθα, καί ὡς προσῆκον καθοπλισάμενοι, οὕτως ἕτοιμοι πρός τούς τῆς νηστείας ἀγῶνας χωρήσωμεν.

Ἐπεί τοίνυν πρῶτον ὅπλον πρός ἀρετήν μεταμέλεια καί ταπείνωσις, καί αὖθις ἐμπόδιον πρός αὐτήν μέγιστον ἀλαζονεία καί ἔπαρσις, τήν παροῦσαν ἀπό τοῦ θείου Εὐαγγελίου ἀξιόπιστον παραβολήν πρώτην πασῶν ἐκτιθέασι, διά μέν τοῦ φαρισαίου τό τῆς ἀλαζονείας καί οἰήσεως ἀποθέσθαι πάθος ἡμᾶς προτρεπόμε-

νοι, διά δέ τοῦ τελώνου πάλιν τό ἐναντίον τοῦ πάθους τούτου τῆς ταπεινώσεως καί μετανοίας ἀντιποιεῖσθαι. Ἐπεί γάρ πρῶτον καί χείριστον τῶν παθῶν ἡ ἀλαζονεία τε καί ἡ οἴησις· ὅτι δι' αὐτῶν καί ἡ ἐξ οὐρανοῦ ἔκπτωσις τῷ διαβόλῳ ἐγένετο, τῷ πρίν μέν Ἑωσφόρῳ, διά δέ ταῦτα σκότος γενομένῳ καί λεγομένῳ· ἀλλά δή καί τῷ γενάρχῃ Ἀδάμ διά ταῦτα ἡ ἀπό τῆς τρυφῆς δίωξις· παραινοῦσι διά τούτων τρόπον τινά οἱ ἅγιοι μηδένα τινά ἐπί τοῖς ἑαυτοῦ ἐπαίρεσθαι κατορθώμασι καί τοῦ πέλας κατεξανίστασθαι, ἀλλ' ἀεί ταπεινόν εἶναι· *Κύριος γάρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δέ δίδωσι χάριν.* Κρεῖσσον γάρ ἐστιν ἁμαρτάνοντα ἐπιστρέφειν ἤ κατορθοῦντα ἐπαίρεσθαι. Λέγω γάρ, φησίν, ὑμῖν ὅτι κατέβη ὁ τελώνης δεδικαιωμένος ἤ ὁ φαρισαῖος. Ἐμφαίνει τοίνυν ἡ παραβολή μηδένα τινά ἐπαίρεσθαι, κἄν χρηστά πράττων ᾖ· ἀλλ' ἀεί ταπεινοῦσθαι καί δεῖσθαι ἀπό ψυχῆς τοῦ Θεοῦ, κἄν τοῖς ἐσχάτοις κακοῖς περιέπεσεν, ὡς οὐ πόῤῥω σωτηρίας ἐστί.

Τελώνης δέ ἐστιν ὁ τά τέλη ἀπό τῶν ἀρχόντων λαμβάνων καί δι' ἄκραν ἀδικίαν ὠνούμενος καί παρακερδαίνων ἐντεῦθεν. Φαρισαῖος δέ, οἱονεί ἀποκεκομμένος τις δῆθεν καί τῶν λοιπῶν ὑπερέχων τῇ γνώσει. Σαδδουκαῖος δέ, ἀπό Σαδωκήκ τινος, ἐστί δίκαιος· σεδέκ γάρ ἡ δικαιοσύνη. Τρεῖς ἦσαν αἱ παρ' Ἑβραίοις αἱρέσεις· ἐσσαῖοι, φαρισαῖοι καί σαδδουκαῖοι, οἵ οὔτε ἀνάστασιν οὔτε ἄγγελον οὔτε πνεῦμα εἶναι ἐδέχοντο.

Ταῖς τῶν ἁγίων πάντων μεγαλουργῶν σου πρεσβείαις, Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.



Β΄

Σήμερον σύν Θεῷ, ἤγουν τήν Κυριακήν τοῦ Τελώνου καί Φαρισαίου, κάμνομεν ἀρχήν τοῦ Τριῳδίου· τό ὁποῖον πολλοί ἀπό τούς Θεοφόρους Πατέρας ἡμῶν ὁποῦ εἶχον τήν τέχνην τῆς Μουσικῆς, ἐξαίρετα καί καθώς ἔπρεπεν, ἀπό τό Ἅγιον Πνεῦμα κινούμενοι, ἐμελούργησαν. Πρῶτος ἀπό ὅλους ἐπενόησε τό Τριῴδιον, ἤγουν τάς τρεῖς ᾠδάς, ὁ μέγας ποιητής Κοσμᾶς, εἰς τήν Ἁγίαν καί μεγάλην ἑβδομάδα, τῶν Παθῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ποιῶν τήν ἀκροστιχίδα τῶν τροπαρίων του, τήν ὀνομασίαν τῆς κάθε μιᾶς ἡμέρας. Ἐκ τούτου, καί οἱ λοιποί Θεῖοι Πατέρες, καί περισσότερον ἀπό τούς ἄλλους ὁ Θεόδωρος καί Ἰωσήφ οἱ Στουδῖται, κατά μίμησιν ἐκείνου τοῦ θείου Κοσμᾶ, ἔκαμον καί αὐτοί Τριῴδια, εἰς τάς ἄλλας ἕξ ἑβδομάδας τῆς τεσσαρακοστῆς, τά ὁποῖα καί ἀμέσως εἰς τό ἐδικόν των Μοναστήριον, ἤτοι τοῦ Στουδίου, παρέδωκαν. Λοιπόν, ἐπειδή ἡ πρώτη ἡμέρα τῆς ἑβδομάδος, εἶναι ἡ Κυριακή ὡς ἀναστάσιμος, καί ἡ αὐτή Κυριακή, εἶναι καί πρώτη, καί ὀγδόη καί τελευταία, διά τοῦτο καί εἰς τήν δευτέραν ἡμέραν, σοφώτατα διώρισαν νά ἀναγι-


νώσκηται ἡ πρώτη ᾠδή· καί εἰς τήν τρίτην ἡμέραν, ἡ δευτέρα τῶν ᾠδῶν, καί εἰς τήν τετάρτην, ἡ τρίτη, καί εἰς τήν πέμπτην, ἡ τετάρτη, καί εἰς τήν ἕκτην, ἤτοι εἰς τήν Παρασκευήν, ἡ πέμπτη, εἰς δέ τήν ἑβδόμην, ἤγουν τό Σάββατον, ἀναγινώσκηται ἡ ἕκτη καί ἡ ἑβδόμη, καί ἀκόμη αἱ ἄλλαι δύω, αἱ ὁποῖαι, ἤγουν ἡ ὀγδόη καί ἡ ἐννάτη, καί εἰς τάς ἄλλας ἡμέρας τῆς ἑβδομάδος, ὡς κυριώτεραι κοινῶς ἀναγινώσκονται· καθώς καί ὁ θεῖος Κοσμᾶς, ἐν τῷ μεγάλῳ Σαββάτῳ ἔταζε ταύτας, ποιῶν ἐκεῖ Τετραῴδιον, καί οἱ Στουδίται Τετραῴδιον εἰς κάθε Σάββατον ἐποίησαν. Μετά ταῦτα δέ Λέων ὁ Βασιλεύς, τόν Ἐπίσκοπον Ἰδροῦντος Κύριον Μᾶρκον κελεύσας, εἰς τέλειον κανόνα κατέστησεν. Ὀνομάζεται δέ Τριῴδιον καταχρηστικῶς· ἐπειδή πανταχοῦ δέν φαίνεται νά ἔχῃ Τριῴδια, ἀλλά καί κανόνας ὁλοκλήρους προβάλλεται· ὅμως ὀνομάζεται τοιούτου εἴδους, ἤτοι Τριῴδιον, καθώς νομίζω, ἤ ἀπό τό πλεονάζον, ἐπειδή περισσότερα εὑρίσκονται τά Τριῴδια, ἀπό τούς ὁλοκλήρους κανόνας, ἤ καί διότι πρῶτα ἔγινον τά Τριῴδια τῆς μεγάλης Ἑβδομάδος, καθώς εἴπομεν. Ἀλλά, καθώς στοχάζομαι, σκοπόν ἔχουσιν οἱ θεῖοι Πατέρες, μέ τό βιβλίον τοῦτο τοῦ Τριῳδίου, νά κάμουν μέ συντομίαν ἀνάμνησιν ὅλων τῶν εὐεργεσιῶν, ὁποῦ ἔκαμεν ὁ Θεός ἐξ ἀρχῆς εἰς τόν ἄνθρωπον, ἤγουν νά μᾶς κάνουν νά ἐνθυμηθῶμεν, πῶς ἐπλάσθημεν ἀπό τόν Θεόν καί πῶς ἐξεβλήθημεν ἀπό τήν τρυφήν τοῦ παραδείσου, μέ τό

νά ἠθετήσαμεν τήν ἐντολήν, ὁποῦ μᾶς ἐδόθη χάριν γυμνασίας, καί ἀπό τόν φθόνον τοῦ ἀρχεκάκου ὄφεως, ἀπερρίφθημεν τῆς θείας ἐκείνης τιμῆς, ἐγκρημνισθέντες ἀπό τήν ἔπαρσιν, ὁποῦ ἐφαντάσθημεν νά γένωμεν Θεοί· καί εἴμεθα ἀπερριμένοι, ἀπό τοῦ παραδείσου τά ἀγαθά, καί ἀπό τόν διάβολον, ἐξουσιαζόμενοι καί φερόμενοι ὡς ἀνδράποδα· καί ὅτι ὁ Υἱός καί Λόγος τοῦ Θεοῦ, εὐσπλαγχνίᾳ καί συμπαθείᾳ κινούμενος, ἐκατέβη ἀπό τούς οὐρανούς, καί εἰς τήν καθαρωτάτην Μήτραν τῆς Παρθένου εἰσῆλθε, καί ἄνθρωπος ἔγινε διά τήν ἐδικήν μας σωτηρίαν, καί μέ τό μέσον τῆς ἰδίας του πολιτείας, ἤτοι προηγουμένως μέ τό παράδειγμα τῆς ἄκρας του ταπεινώσεως, καί τῆς νηστείας, καί τῆς ἀποχῆς τῶν κακῶν, καί τῶν ἐπιλοίπων του πράξεων, ἔδειξεν εἰς ὅλους ἡμᾶς, τήν εἰς Οὐρανούς ἀνάβασιν. Καί νά ἐνθυμηθῶμεν προσέτι, ὅτι καί ἔπαθεν, ἤτοι ἀπέθανε, καί ἀνέστη, καί πάλιν εἰς τούς Οὐρανούς ἀνέβη· καί τό Πνεῦμα τό Ἅγιον ἐξαπέστειλε τοῖς Ἁγίοις αὐτοῦ Μαθηταῖς, καί Ἀποστόλοις· καί ὅτι Υἱός Θεοῦ καί Θεός τέλειος κατά πάντα, ὑπ᾽ αὐτῶν ἀνεκηρύχθη· καί ὅτι αὐτοί οἱ Θεῖοι Ἀπόστολοι μεγάλα τε καί ἐξαίσια ἐνήργησαν διά τῆς χάριτος τοῦ παναγίου Πνεύματος· καί ὅτι κηρύξαντες εἰς πάντα τόν Κόσμον τήν ἀληθινήν πίστιν, ἐσύναξαν ἀπό τά τετραπέρατα τῆς οἰκουμένης τούς Ἁγίους πάντας, ἀναπληρώσαντας τόν ἄνω Κόσμον· τό ὁποῖον ἦτον ἐξ ἀρχῆς ὁ σκοπός τοῦ Κτίσαν-

τος ἡμᾶς Θεοῦ. Ὡς ἐν περιλήψει λοιπόν, οὗτος εἶναι ὁ σκοπός τοῦ Τριῳδίου· πλήν αἱ τρεῖς αὗται ἑορταί, εἴτε ὑποθέσεις, δηλ. τοῦ Τελώνου καί τοῦ Φαρισαίου, τοῦ Ἀσώτου, καί τῆς δευτέρας Παρουσίας ὡσάν μία προγυμνασία καί παρακίνησις, ἐπενοήθησαν ἀπό τούς Ἁγίους Πατέρας, τάχα διά νά γίνωμεν ἕτοιμοι πρός τούς πνευματικούς ἀγῶνας τῶν νηστειῶν. Ὀνομάζονται δέ αὗται καί προφωνήσιμοι, καί μάλιστα κατ' ἐξαίρετον ἡ τῆς Τυροφάγου ἑβδομάς, ὅτι κοινῶς καί λαμπρῶς προαναφωνοῦσι, καί προκηρύττουσι τούς ἀγῶνας, ὁποῦ ἔχομεν νά κάμωμεν κατά τῶν παθῶν, καί τῶν δαιμόνων, εἰς τήν ἁγίαν Τεσσαρακοστήν, καί νά ἑτοιμασθῶμεν μέ τήν καλήν γνώμην, καί τήν προθυμίαν, νά τούς δεχθῶμεν, ὅλοι κοινῶς, ὄχι δηλαδή μόνον οἱ Καλόγεροι, καθώς μερικοί συνηθίζουν νά λέγωσι, ἀλλά καί οἱ λαϊκοί ὅλοι καί ἄνδρες καί γυναῖκες, διότι ὁ Χριστός ἦλθεν εἰς τόν Κόσμον, διά νά σώσῃ ὅλους, καί ὄχι ὀλίγους τινάς. Καί ἐπειδή οἱ Θεῖοι Πατέρες ἠξεύρουσι, πῶς ἡ ταπείνωσις εἶναι ἡ πρώτη ἀρχή καί πρῶτον μέσον πρός σωτηρίαν, καί ἐκ τοῦ ἐναντίου πάλιν ἡ ἀλαζονεία καί ὑπερηφάνεια, εἶναι μεγαλώτατον ἐμπόδιον πρός αὐτήν, καί ἐγκρεμισμός μάλιστα, ἄν τύχῃ, ἀπό ὕψος ἀρετῆς, διά τοῦτο ἔταξαν ἐδῶ εἰς τό Τριῴδιον πρώτην τήν παραβολήν τοῦ Τελώνου καί τοῦ Φαρισαίου, ὡς ἀξιόπιστον ἀπόδειξιν, ἀπό τό Ἱερόν Εὐαγγέλιον. Διδάσκουσι λοιπόν, μέ τό πρόσωπον τοῦ

Φαρισαίου, ὅτι μέγα κακόν εἶναι ἡ ἀλαζονεία, καί διά τοῦτο πρέπει νά τήν ἀποφεύγωμεν, καί νά μή φανταζώμεθα μεγάλα τινά διά λόγου μας· καί πάλιν ἐκ τοῦ ἐναντίου, μέ τό πρόσωπον τοῦ Τελώνου, φανερώνουσι, πόσον καλόν εἶναι ἡ ταπείνωσις, καί διά τοῦτο πρέπει νά τήν ἀσπαζώμεθα, καί νά μή καταφρονῶμεν ποτέ τόν πλησίον μας· ὅτι καθώς λέγει ἡ Γραφή, Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δέ δίδωσι χάριν· καί εἰς τόν Θεόν κοντά, πλέον δεκτός εἶναι εἷς ἁμαρτωλός μετανοῶν, παρά εἷς δίκαιος ὑπερηφανευόμενος· ἐπειδή τί ἀπεφάσισεν ὁ Κύριος περί τῶν δύω αὐτῶν; κατέβη, λέγει, οὗτος, ἤγουν ὁ Τελώνης δεδικαιωμένος, ἤ ἐκεῖνος, ἀντί τοῦ καί ὄχι ἐκεῖνος, ἤτοι ὁ Φαρισαῖος. Φανερώνει λοιπόν ἡ Παραβολή, ὅτι κανείς νά μήν ἐπαίρηται, κἄν καί πολλάς ἀρετάς πλουτῇ· καί πάλιν, ὅτι ἄν καί εἰς ἔσχατα κακά ἔπεσεν, ἄς μιμῆται τόν Τελώνην, καί νά παρακαλῇ ἀπό ψυχῆς τόν Θεόν, νά τῷ γίνῃ ἵλεως. Τελώνης δέ, θέλει νά εἰπῇ, ἐκεῖνος ὁποῦ πέρνει ἀπό τούς ἄρχοντας τά τέλη, ἤτοι τά κουμέρκια, καί ἀπό ἄκραν ἀδικίαν, κερδαίνουν καί πλεονεκτοῦν ἀπό αὐτά. Φαρισαῖος δέ, ἐκεῖνος ὁποῦ χωρίζει τόν ἑαυτόν του τρόπον τινά ἀπό τόν ἄλλον Κόσμον, καί τάχα κρατεῖ τόν ἑαυτόν του ἀνώτερον τῶν ἄλλων, καί κατά τήν γνῶσιν καί κατά τήν ἀρετήν. Σαδδουκαῖος δέ, ὁ καταγόμενος ἀπό Σαδώκτινος, ἤτοι δίκαιος· ὅτι παρ' Ἑβραίοις, σεδέκ, ἡ δικαιοσύνη λέγεται. Τρεῖς ἦτον

παρά τοῖς Ἑβραίοις αἱρέσεις· Ἐσσαῖοι, Φαρισαῖοι, καί Σαδδουκαῖοι· καί οὗτοι, οὔτε ἀνάστασιν νεκρῶν, οὔτε Ἄγγελον, οὔτε Πνεῦμα ἐδέχοντο. Ταῖς τῶν Θεοφόρων Πατέρων ἡμῶν πρεσβείαις Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.


Η ΕΠΙΣΤΡΟΦΗ
ΤΟΥ ΑΣΩΤΟΥ

ΚΥΡΙΑΚΗ ΤΟΥ ΑΣΩΤΟΥ

Τῇ αὐτῇ ἡμέρᾳ τῆς τοῦ ἀσώτου υἱοῦ παραβολῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου μνείαν ποιούμεθα, ἥν οἱ θειότατοι πατέρες ἡμῶν δευτέραν ἐν τῷ Τριῳδίῳ ἐνέταξαν.

Α΄

Ἐπειδή εἰσί τινες πολλά τῶν ἀτόπων ἑαυτοῖς συνειδότες, ἀσώτως τε ἐκ νεωτέρας πάνυ τῆς ἡλικίας βιοῦντες, καί μέθαις καί ἀσελγείαις σχολάζοντες, καί εἰς βυθόν οὕτω κακῶν ἀποπεσόντες, πρός ἀπόγνωσιν ἔρχονται, ἥτις δή γέννημά ἐστι τῆς ἀλαζονείας, κἀντεῦθεν πρός ἐπιμέλειαν ἀρετῆς οὐδαμῶς ἔρχεσθαι βούλονται, καί τόν τῶν κακῶν ἑσμόν προβαλλόμενοι, τοῖς αὐτοῖς καί χείροσι τῶν κακῶν ἀεί περιπίπτουσι, φιλανθρώπως καί πατρικῶς οἱ ἅγιοι πατέρες καί πρός τούς τοιούτους τῶν ἀνθρώπων ἔχοντες καί ἀπαγαγεῖν τῆς ἀπογνώσεως θέλοντες, τήν τοιαύτην παραβολήν ἐνταῦθα μετά τήν πρώτην ἐνέταξαν, πρόῤῥιζον τό τῆς ἀπογνώσεως ἀνασπῶντες πάθος καί πρός ἀρετῆς ἀνάληψιν διεγείροντες, καί τά φιλάνθρωπα καί ὑπεράγαθα τοῦ Θεοῦ σπλάγχνα τοῖς πλεῖστα ἐπται-

κόσι διά τοῦ ἀσώτου δεικνύοντες, ὡς οὐκ ἔστιν οὐδέν τῶν ἁμαρτημάτων, ὅ τήν ἐκείνου φιλάνθρωπον γνώμην νικήσει, ἐξ αὐτῆς τῆς παραβολῆς τοῦ Χριστοῦ αὐτό παριστάνοντες.

Δύο μέν οὖν εἰσιν υἱοί τοῦ ἀνθρώπου, ἤτοι τοῦ Θεανθρώπου Λόγου, οἱ δίκαιοι καί οἱ ἁμαρτωλοί. Ὁ μέν οὖν πρεσβύτερός ἐστιν ὁ ἐν ταῖς ἐντολαῖς αὐτοῦ καί τῷ καλῷ ἀεί ἐπιμένων τοῦ Θεοῦ καί μηδ' ὁπωσοῦν αὐτοῦ ἀφιστάμενος· νεώτερος δέ ὁ τήν ἁμαρτίαν ποθήσας καί τήν μετά Θεοῦ συνδιαγωγήν διά τῶν αἰσχρῶν πράξεων ἀρνησάμενος, καί τήν περί αὐτόν τοῦ Θεοῦ φιλανθρωπίαν ἐκδαπανήσας, ἀσώτως πολιτευσάμενος, ὡς μή τό κατ' εἰκόνα σῶον διατηρῶν, καί τῷ πονηρῷ δαίμονι ἐξακολουθήσας, καί δουλεύσας διά τῶν ἡδονῶν τοῖς ἐκείνου θελήμασι, καί μή δυνηθείς τήν ἐπιθυμίαν ἐμπλῆσαι. Ἀκόρεστον γάρ τοι πρᾶγμα ἡ ἁμαρτία, θέλγουσα τῇ συνηθείᾳ διά τοῦ προσκαίρως ἡδύνοντος· ἥν δή καί κερατίοις παρεικάζει ὡς χοίρων οὖσαν τροφήν· τά γάρ κεράτια πρῶτον μέν γλυκύ τι προβάλλονται, ὕστερον δέ τραχύ τι καί ἀχυρῶδες ἀποτελοῦσιν· ἅ πάντως κέκτηται καί ἡ ἁμαρτία.

Μόλις οὖν ἀνανήψας ὁ ἄσωτος, ὡς τῷ λιμῷ τῆς ἀρετῆς ἀπολλύμενος, ἔρχεται πρός τόν Πατέρα λέγων· *Πάτερ, ἥμαρτον εἰς τόν οὐρανόν καί ἐνώπιόν σου καί οὐκ εἰμι ἄξιος κληθῆναι υἱός σου.* Ὁ δέ δέχεται τοῦτον μετανοοῦντα, μή ὀνειδίζων, ἀλλά περιπλεκόμενος καί

ἀγκαλιζόμενος, τά θεϊκά καί πατρικά σπλάγχνα ἐπιδεικνύς· καί δίδωσιν αὐτῷ ἔνδυμα, τό ἅγιον δηλαδή Βάπτισμα, καί σφραγῖδα καί ἀῤῥαβῶνα τήν χάριν τοῦ παναγίου Πνεύματος· πρός δέ τούτοις καί ὑποδήματα, ἵνα μηκέτι ὑπό τῶν ὄφεων καί σκορπίων πλήττηται τά κατά Θεόν αὐτοῦ διαβήματα, ἀλλά μᾶλλον τάς ἐκείνων κάρας συντρίβειν ἔχῃ. Μετέπειτα δέ τῷ ὑπερβάλλοντι τῆς χαρᾶς καί τόν μόσχον δι' αὐτόν θύει τόν σιτευτόν, τόν Υἱόν αὐτοῦ τόν μονογενῆ ὁ Πατήρ, καί τῆς σαρκός αὐτοῦ δίδωσι μετασχεῖν καί τοῦ αἵματος, κἄν θαυμάζων ὁ πρεσβύτερος υἱός τήν ὑπεράπειρον αὐτοῦ εὐσπλαγχνίαν λέγει ὅσα δῆτα καί εἴρηκεν. Ὁ δέ φιλάνθρωπος κἀκεῖνον ἐπιστομίζει, ἐπανάγων ἠρέμα λόγοις ἠπίοις καί προσηνέσι, *Σύ πάντοτε μετ'ἐμοῦ εἶ, λέγων, καί χαρῆναι προσῆκε καί τῷ Πατρί συνησθῆναι, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρός ἦν τῇ ἁμαρτίᾳ τό πρότερον καί ἀνέζησε, μετανοήσας ἐφ' οἷς ἔπραττε παραλόγως, καί ἀπολωλώς, ὡς μακράν μου γενόμενος τῇ συνηθείᾳ τῶν ἡδονῶν, καί εὑρέθη δι' ἐμοῦ, σπλάγχνοις οἰκείοις παθόντος καί τῷ συμπαθεῖ τῆς γνώμης μετακαλεσαμένου αὐτόν.* Δύναται δέ ἡ παραβολή αὕτη καί πρός τόν τῶν Ἑβραίων λαόν καί ἡμᾶς ἐκληφθῆναι.

Διά ταύτην οὖν τήν αἰτίαν καί ἡ παραβολή αὕτη ἐνταῦθα παρά τῶν ἁγίων πατέρων ἐτάχθη, ἀναστῶσα μέν, ὡς εἴρηται, τήν ἀπόγνωσιν καί δειλίαν τοῦ τῶν καλῶν ἔργων ἅπτεσθαι, προτρέπουσα δέ εἰς μετάνοιάν

τε καί μεταμέλειαν τόν ὡς τόν ἄσωτον ἁμαρτήσαντα· ἥτις δή καί ὅπλον ἐστί μέγιστον εἰς ἀποτροπήν τῶν τοῦ ἐναντίου βελῶν καί ἀμυντήριον κραταιόν.

Τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Τήν παραβολήν τοῦ Ἀσώτου, οἱ Θεῖοι Πατέρες διέταξαν, νά ἀναγινώσκηται, ὕστερα ἀπό ἐκείνην τοῦ Τελώνου καί Φαρισαίου, δι' αἰτίαν τοιαύτην. Ἐπειδή, πολλοί ὄντες ἐκ νεωτέρας ἡλικίας, ἐκδεδομένοι εἰς ἀσωτίας, εἰς μέθας τε καί ἀσελγείας, καί πίπτοντες εἰς βυθόν κακῶν, εἰς ἀπόγνωσιν ἔρχονται, ἡ ὁποία, κατά τούς Πατέρας, εἶναι γέννημα τῆς ἀλαζονείας, καί ἀπό αὐτήν τήν αἰτίαν, δέν θέλουσι παντελῶς νά δοθῶσιν εἰς ἐπιμέλειαν ἀρετῆς, ἀλλά μάλιστα καί πίπτουσιν εἰς τά ἴδια καί χειρότερα, τάχα στοχαζόμενοι πῶς δι' αὐτούς δέν εἶναι ἔλεος. Διά τοῦτο οἱ Ἅγιοι Πατέρες, φιλανθρωπίαν καί σπλάγχνα πατρικά δεικνύοντες καί πρός τούς τοιούτους, καί θέλοντες νά τούς τραβήξουν ἀπό τήν ἀπόγνωσιν, τήν τοιαύτην παραβολήν, ὡς εἴπομεν, μετά τήν πρώτην ἐνέταξαν ἐδῶ, βουλόμενοι νά ἀνασπάσουν πρόῤῥιζον τό πάθος τῆς ἀπογνώσεως, δεικνύοντες διά τοῦ Ἀσώτου, πῶς εἶναι ἀνοικτά εἰς τούς

ἁμαρτωλούς ὅλους, τά φιλάνθρωπα καί ὑπεράγαθα σπλάγχνα τοῦ Θεοῦ, καί ὅτι δέν εἶναι καμμία ἁμαρτία, ὁποῦ ἠμπορεῖ νά νικήσῃ τήν ἄπειρον τοῦ Θεοῦ φιλανθρωπίαν. Ποῖοι δέ εἶναι οὗτοι οἱ δύω υἱοί, διά τούς ὁποίους ὁμιλεῖ τό Ἱερόν Εὐαγγέλιον; οἱ δύω οὗτοι υἱοί, εἶναι οἱ δίκαιοι καί οἱ ἁμαρτωλοί· ὁ πρεσβύτερος, ἤγουν ὁ μεγαλύτερος εἶναι ἐκεῖνος, ὁποῦ πάντοτε στέκει εἰς τάς ἐντολάς τοῦ Θεοῦ, καί πάντοτε μένει εἰς τό καλόν, καί παντελῶς δέν ἀπομακρύνεται ἀπό τόν Θεόν καί Πατέρα του· νεώτερος δέ εἶναι ἐκεῖνος, ὁποῦ ἠγάπησε τήν ἁμαρτίαν, καί μέ τάς αἰσχράς του πράξεις ἀπεμάκρυνεν ἀπό τήν συναναστροφήν τοῦ Θεοῦ· καί τήν φιλανθρωπίαν ὁποῦ ἔδειξεν εἰς αὐτόν ὁ Θεός, τήν κατεσκόρπισε μέ τάς ἀσωτείας του, καί πλέον τό κατ' εἰκόνα δέν σῴζεται σῷον εἰς αὐτόν, ἀλλ' ἀκολουθεῖ τῷ πονηρῷ δαίμονι, καί διά τῶν ἡδονῶν, ἐργάζεται τά ἐκείνου θελήματα, καί τήν ἐπιθυμίαν του νά χορτάσῃ δέν δύναται. Ὅτι ἡ ἁμαρτία εἶναι πρᾶγμα ὁποῦ δέν χορταίνεται, μέ τήν προσωρινήν ἡδονήν· τήν ὁποίαν ὁμοιάζει μέ τά ξυλοκέρατα ὁποῦ εἶναι ἡ τροφή τῶν χοίρων, ὅτι τά ξυλοκέρατα εἰς τήν ἀρχήν ἐκβάλουν μικράν γλυκύτητα, καί ὕστερον μένει κάποιόν τι τραχύ καί ἀχυρῶδες εἰς τό στόμα· καί αὐτά ἀπαραλλάκτως ἔχει καί ἡ ἁμαρτία. Ἀφ' οὗ λοιπόν, μετά βίας ἦλθέ ποτε εἰς τόν ἑαυτόν του ὁ Ἄσωτος, καί ἐστοχάσθη πῶς ἦτον ἀπωλεσμένος, ἀπό τήν ἔλλειψιν τῆς ἀρετῆς, ἦλθε τέλος

πάντων εἰς τόν πατέρα, λέγων· πάτερ ἥμαρτον εἰς τόν οὐρανόν καί ἐνώπιόν σου, καί οὐκ εἰμί ἄξιος κληθῆναι υἱός σου. Ὁ Πατήρ τόν ἐδέχθη μετανοοῦντα, χωρίς νά τόν ὀνειδίσῃ ὁλότελα, ἀλλά πίπτων εἰς τόν τράχηλόν του καί ἀγκαλιάζων αὐτόν, καί δεικνύων τά θεϊκά καί πατρικά σπλάγχνα, τόν ἔδωκεν ἔνδυμα, ἤτοι τό Ἅγιον Βάπτισμα, καί δακτυλίδιον, ἤγουν σφραγῖδα καί ἀῤῥαβῶνα, τήν Χάριν τοῦ παναγίου Πνεύματος· καί κοντά εἰς αὐτά, τόν ἔδωκε καί ὑποδήματα, διά νά μή πληγώνωνται, τά κατά Θεόν αὐτοῦ διαβήματα ὑπό τῶν νοητῶν ὄφεων καί σκορπίων, ἀλλά μάλιστα νά ἠμπορῇ νά πατῇ τάς κεφαλάς αὐτῶν, κατά τό εἰρημένον, τοῦ πατεῖν ἐπάνω ὄφεων καί σκορπίων. Μετά ταῦτα ἀπό τήν ὑπερβολήν τῆς χαρᾶς κινούμενος ὁ πατήρ, σφάζει δι' αὐτόν, καί τό μοσχάρι τό θρεπτόν, ἤγουν τόν υἱόν του τόν μονογενῆ, καί τόν δίδει νά φάγῃ τήν σάρκα, καί νά πίῃ αὐτοῦ τό αἷμα· καί ταύτην τήν ὑπεράπειρον τοῦ Θεοῦ καί Πατρός εὐσπλαγχνίαν, ὁ πρεσβύτερος
40 υἱός θαυμάζων, λέγει ὡσάν παράπονα, ὅσα τόν ἠκούσαμεν, λέγοντα, ἀπό τήν πολλήν του ἔκπληξιν· ἀλλ' ὁ φιλάνθρωπος πατήρ καί ἐκεῖνον κάμνει νά σιωπᾷ, μεταχειρίζων αὐτόν μέ λόγια μαλακά καί ἥμερα, λέγων εἰς αὐτόν, τέκνον μου, ἐσύ πάντοτε ἤσουν καί εἶσαι μετ' ἐμοῦ ἀχώριστος, καί ὅλα τά ἐδικά μου, ἐδικά σου εἶναι· ἔπρεπε δέ ὡς τόσον, νά εὐφρανθῶμεν καί νά χαρῶμεν, ὅτι οὗτος ὁ ἐδικός μου υἱός, καί ἐδικός σου

ἀδελφός, νεκρός ἦτον ἀπό τήν ἁμαρτίαν, καί τώρα ἀνέζησε μέ τήν μετάνοιαν, καί χαμένος ἦτον, ὡσάν ὁποῦ ἀπεμάκρυνεν ἀπό ἐμέ, μέ τήν συνήθειαν τῶν φαύλων πράξεων, καί τώρα εὑρέθη, μέ τό νά τόν ἀνεζήτησα ἐγώ, μέ τήν ἐδικήν μου εὐσπλαγχνίαν καί συμπάθειαν. Ἠμπορεῖ δέ αὐτή ἡ παραβολή νά προσαρμοσθῇ, καί εἰς τόν Ἑβραϊκόν λαόν, καί ἡμᾶς τούς ἐξ Ἐθνῶν, ἐννοῦσα, πρεσβύτερον μέν υἱόν τόν Ἑβραϊκόν λαόν, νεώτερον δέ τόν ἐξ Ἐθνῶν. Διά ταύτην τήν αἰτίαν λοιπόν, διωρίσθη ἐδῶ παρά τῶν Ἁγίων Πατέρων, καί ἡ παραβολή αὕτη, ἡ ὁποία δύναται νά ἀνασπάσῃ, ὡς εἴπομεν, τήν κακίστην ἀπόγνωσιν, καί δειλίαν τῆς ἀρετῆς, καί ἐκ τοῦ ἐναντίου εἶναι ἱκανή, νά παρακινήσῃ εἰς μετάνοιαν καί μεταμέλειαν, τόν ἁμαρτήσαντα ὡς ὁ Ἄσωτος. Τῇ ἀφάτῳ σου φιλανθρωπίᾳ Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.





ΣΑΒΒΑΤΟΝ ΤΩΝ ΨΥΧΩΝ

Τῇ αὐτῇ ἡμέρᾳ μνείαν πάντων τῶν ἀπ' αἰῶνος κοιμηθέντων εὐσεβῶς ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου οἱ θειότατοι πατέρες ἐθέσπισαν.

Α΄

Ἐπειδή τινες ἄωρον πολλάκις ἐπί ξένης ὑπέστησαν θάνατον, ἐν θαλάσσῃ τε καί ἀβάτοις ὄρεσι, κρημνοῖς τε καί χάσμασι καί λοιμοῖς καί λιμοῖς καί πολέμοις καί ἐμπρησμοῖς καί κρυμοῖς καί ἄλλους παντοίους θανάτους ὑπομεμενηκότες, ἴσως δέ, καί πένητες ὄντες καί ἄποροι, καί τῶν νενομισμένων ψαλμῳδιῶν καί μνημοσύνων οὐκ ἔτυχον, φιλανθρώπως οἱ θεῖοι πατέρες κινούμενοι, κοινῶς μνείαν τούτων ἁπάντων τήν καθολικήν Ἐκκλησίαν ποιεῖσθαι ἐθέσπισαν, ἀπό τῶν ἱερῶν ἀποστόλων διαδεξάμενοι, ἵνα καί οἱ μή τῶν νενομισμένων ἀνά μέρος διά τινος συμβάματος τετυχηκότες, τῇ νῦν κοινῇ μνείᾳ κἀκεῖνοι περιλαμβάνοιντο, δεικνύντες ὡς καί τά ὑπέρ αὐτῶν γινόμενα μεγάλην αὐτοῖς προξενεῖ τήν ὠφέλειαν. Καθ' ἕνα μέν οὖν τρόπον οὕτως ἡ τοῦ Θεοῦ Ἐκκλησία μνείαν ἐπιτελεῖ τῶν ψυχῶν. Δεύτερον δέ, ἐπειδή τήν δευτέραν τοῦ Χριστοῦ παρουσίαν θεῖναι τῇ ἐπαύριον

ἔμελλον, ἁρμοζόντως καί τῶν ψυχῶν μνημονεύουσιν, ὡσανεί τόν φοβερόν κριτήν καί ἀπαραλόγιστον ἱλεούμενοι, τῇ συνήθει πρός αὐτάς χρήσασθαι συμπαθείᾳ καί τῇ ἐπηγγελμένῃ ταύτας κατατάξαι τρυφῇ. Ἄλλως τε δέ, καί τήν τοῦ Ἀδάμ ἐξορίαν οἱ ἅγιοι μέλλοντες τῇ ἐσομένῃ ἐνθεῖναι Κυριακῇ, ὥσπερ τινά κατάπαυσιν προσεπινοοῦσι καί τέλος πάντων τῶν καθ' ἡμᾶς διά τῆς παρούσης νῦν καταπαύσεως, ἵν' ἐκεῖθεν ὡς ἀπ' ἀρχῆς ἄρξωνται· τό γάρ ὕστατον τῶν παρ' ἡμῶν πάντων ἡ τῶν βεβιωμένων παρά τοῦ ἀδεκάστου κριτοῦ ἔσται ἐξέτασις, καί ἵνα τούς ἀνθρώπους διά τούτων φοβήσαντες πρός τούς τῆς νηστείας ἀγῶνας ποιήσωσιν εὐχερεῖς.

Ἐν Σαββάτῳ δέ ἀεί τήν τῶν ψυχῶν μνείαν ποιούμεθα, ὅτι τό Σάββατον κατάπαυσιν σημαίνει ἑβραϊστί· καί τῶν τεθνεώτων τοίνυν, ὡς τῶν βιοτικῶν καί τῶν λοιπῶν ἁπάντων καταπαυσαμένων, κἄν τῇ καταπαυσίμῳ τῶν ἡμερῶν τάς ὑπέρ αὐτῶν δεήσεις ποιούμεθα, ὅ δή καί ἐπί πᾶν κεκράτηται γίνεσθαι Σάββατον. Τό δέ γε νῦν καθολικῶς μνημονεύομεν, ὑπέρ παντός δεόμενοι εὐσεβοῦς· εἰδότες καί γάρ οἱ θεῖοι πατέρες ὡς τά ὑπέρ τῶν κεκοιμημένων γινόμενα, μνημόσυνα, λέγω, ἐλεημοσύναι καί λειτουργίαι, μεγάλην αὐτοῖς παρέχει ἄνεσιν καί ὠφέλειαν, καί ἰδίως καί κοινῇ τήν Ἐκκλησίαν τοῦτο ποιεῖν ἐπιτρέπουσι, παρά τῶν ἁγίων ἀποστόλων τοῦτο παραλαβόντες, ὡς εἴρηται, καθά καί ὁ Ἀρεοπαγίτης φησί Διονύσιος.

Ὅτι δέ ὠφελεῖ τάς ψυχάς τά ὑπέρ αὐτῶν γινόμενα, δῆλον μέν καί ἐξ ἄλλων πολλῶν, ἀλλά καί ἐκ τῆς κατά τόν ἅγιον Μακάριον ἱστορίας. Ὅς, ἀνδρός ἀσεβοῦς Ἕλληνος ξηρόν κρανίον κατά τήν ὁδόν παριών εὑρηκώς, ἤρετο εἴ τινά ποτε ἐν ᾅδῃ παραμυθίας αἴσθησιν ἔχουσι. Τό δέ ἀπεκρίνατο πολλήν αὐτούς ἔχειν ἄνεσιν, ἡνίκα ὑπέρ τῶν κεκοιμημένων εὔχῃ, πάτερ, εἰπόν. Ἦν γάρ τοῦτο ποιῶν ὁ μέγας καί δεόμενος τοῦ Θεοῦ, μαθεῖν ἐφιέμενος εἰ ὠφέλειά τις τοῖς προκεκοιμημένοις ἐντεῦθεν ἐγίνετο. Ἀλλά καί Γρηγόριος ὁ Διάλογος διά προσευχῆς τόν βασιλέα Τραϊανόν σέσωκεν, ἀκούσας παρά Θεοῦ, μή ἄλλοτέ ποτε αὐτόν ὑπέρ ἀσεβοῦς δεηθῆναι. Ναί μήν καί τόν θεοστυγῆ Θεόφιλον Θεοδώρα ἡ βασιλίς διά τῶν ἁγίων καί ὁμολογητῶν ἀνδρῶν τῶν βασάνων ἐξήρπασε καί διέσωσεν, ὡς ἱστόρηται. Συνίστησι δέ τάς ὑπέρ τῶν κεκοιμημένων δόσεις ὡς ἀγαθάς καί ὁ Θεολόγος Γρηγόριος ἐν τῷ εἰς Καισάριον ἐπιταφίῳ τόν ἀδελφόν. Ὁ δέ μέγας Χρυσόστομος ἐν τῇ πρός Φιλιππησίους οὕτω φησίν· *Ἐπινοήσωμεν τοῖς ἀπελθοῦσιν ὠφέλειαν· δῶμεν αὐτοῖς τήν προσοῦσαν βοήθειαν, ἐλεημοσύνας λέγω καί προσφοράς· καί γάρ φέρει τούτοις πολλήν τό πρᾶγμα τήν ὄνησιν καί μάλα κέρδος καί ὠφέλειαν· οὐ γάρ εἰκῇ καί ὡς ἔτυχε ταῦτα νενομοθέτηται καί τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ παρά τῶν αὐτοῦ πανσόφων μαθητῶν παραδέδοται, τό ἐπί τῶν φρικτῶν μυστηρίων μνείαν ποιεῖσθαι τόν ἱερέα ὑπέρ*

τῶν πίστει κεκοιμημένων. Καί αὖθις· *Ἐν τῇ σῇ διατάξει μετά τῶν τέκνων καί συγγενῶν, συγκληρονόμων ἐχέτω σου ὁ χάρτης καί τό τοῦ δικαστοῦ ὄνομα καί μνήμης μή ἀμοιρείτω πτωχῶν, κἀγώ τούτων ἐγγυητής.* Λέγει δέ καί ὁ πολύς Ἀθανάσιος· *Κἄν εἰς ἀέρα ἐν εὐσεβείᾳ τελειωθείς διελύθη, μή ἀπαναίνου ἔλαιον καί κηρούς, Χριστόν τόν Θεόν ἐπικαλεσάμενος, ἐν τῷ τάφῳ προσάψαι· δεκτά γάρ ταῦτα Θεῷ καί πολλήν φέροντα τήν ἀντίδοσιν·* εἰ μέν οὖν ἁμαρτωλός ὁ τεθνηκώς ᾖ, ἵνα λύσῃς αὐτοῦ τά ἁμαρτήματα· εἰ δέ δίκαιος, ἵνα μισθῶν προσθήκη γένηται. Εἰ δ' ἴσως τις ξένος καί ἄπορος ὤν, οὐκ ἔχει τόν ἐν τούτοις ἐπιμελησόμενον, ἀλλ' ὁ Θεός, δίκαιος καί φιλάνθρωπος ὤν, ἐπιμετρήσει κἀκείνῳ διά τῆς ἀπορίας, ὡς οἶδεν, ἀναλόγως τόν ἔλεον. Ἄλλως τε, καί ὁ προσφέρων ὑπέρ τῶν τοιούτων τοῦ μισθοῦ συμμετέχει, ὡς τήν ἀγάπην ὑπέρ τῆς τοῦ πλησίον ἐνδεικνύμενος σωτηρίας· ὥσπερ ὁ ἕτερον ἀλείφων μύρῳ, ἐκεῖνος ἑαυτόν πρῶτον εὐωδιάζει, ὥστε οἱ τά ἐπιτετραμμένα καί τάς διαθήκας ἐν τοῖς τοιούτοις μή ἐκπληροῦντες κρῖμα ἕξουσι πάντως. Ἕως ἄν οὖν ἡ δευτέρα τοῦ Χριστοῦ ἐπιγένηται παρουσία, ὅσα ὑπέρ τῶν κεκοιμημένων γίνεται, ὠφέλειαν παρέχει, ὡς οἱ θεῖοι πατέρες φάσκουσι, καί μάλιστα τοῖς καί μικρά τινα ἐργασάμενοις τῶν ἀγαθῶν, ὅτε μετά τῶν ζώντων ἦσαν κατειλεγμένοι· κἄν καί τινα τέως (ὡς χρεών) πρός σωφρονισμόν τῶν πολλῶν ἡ θεία λέγει Γραφή, ἀλλ' ἡ

φιλανθρωπία τοῦ Θεοῦ ὡς ἐπί τό πλεῖστον νικᾷ· ἄν γάρ ἰσοπαλής ὁ ζυγός εὑρεθῇ τῶν καλῶν καί αἰσχρῶν, νικᾷ τό φιλάνθρωπον· εἰ δέ καί μικρόν τι τῶν κακῶν ἡ πλάστιγξ βαρύνεται, κατακρατεῖ πάλιν τό ὑπεράγαθον.

Ἰστέον δέ ὡς γνωρίσουσιν ἀλλήλους ἐκεῖσε, οὕς τε γινώσκουσι καί οὕς οὐκ ἐθεάσαντο πώποτε ὡς ὁ θεῖος λέγει Χρυσόστομος, ἀπό τῆς κατά τόν πλούσιον καί τόν Λάζαρον παραβολῆς αὐτό συνιστῶν. Πλήν οὐ σωματικῷ τινι σχήματι· μία γάρ ἡλικία πάντες, καί τά ἀπό γενέσεως γνωρίσματα λείψουσι, τῷ διορατικῷ δέ ὄμματι τῆς ψυχῆς, ὡς καί ὁ Θεολόγος ἐν τῷ εἰς Καισάριον ἐπιταφίῳ φησί· *Τότε*, λέγων, *Καισάριον ὄψομαι φαιδρόν, ἔνδοξον, οἷός μοι κατ' ὄναρ πολλάκις ἐφάνης, ἀδελφῶν φίλτατε.* Ὁ δέ μέγας καί πολύς Ἀθανάσιος, κἄν ἐν τοῖς πρός τόν ἄρχοντα Ἀντίοχον οὕτω μή λέγει, ἀλλ' ἐν τῷ ὑπέρ τῶν κεκοιμημένων λόγῳ φησίν, ὅτι καί μέχρι τῆς κοινῆς ἀναστάσεως δέδοται τοῖς ἁγίοις ἀλλήλους γνωρίζειν καί συνευφραίνεσθαι· οἱ δέ ἁμαρτωλοί καί τούτου ἐστέρηνται· τοῖς δέ ἁγίοις μάρτυσι καί τά παρ' ἡμῶν τελούμενα ἐφορᾶν δέδοται καί ἐπισκέπτεσθαι. Τότε δέ πάντες ἀλλήλους γνωρίσουσιν, ὅτε καί τά κεκρυμμένα πάντων φανήσεται. Ἰστέον δέ, ὡς νυνί ἔν τισιν ἀφωσιωμένοις τόποις αἱ ψυχαί τῶν δικαίων διάγουσι καί τῶν ἁμαρτωλῶν αὖθις ἀνά μέρος· οἱ μέν τῇ ἐλπίδι χαίροντες, οἱ δέ τῇ τῶν δεινῶν προσδοκίᾳ λυπούμενοι· οὐ γάρ ἔλαβον οἱ ἅγιοι τήν ἐπαγ-

γελίαν τῶν ἀγαθῶν ἔτι, ὥς φησιν ὁ θεῖος ἀπόστολος· *τοῦ Θεοῦ περί ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μή χωρίς ἡμῶν τελειωθῶσι.*

Χρή δέ εἰδέναι ὅτι οὐχί πάντες οἱ κρημνοῖς περιπίπτοντες καί πυρί καί θαλάσσῃ καί τοῖς λεγομένοις θανατικοῖς ἐκτριβόμενοι καί κρύει καί λιμῷ κατά κέλευσιν Θεοῦ τοῦτο πάσχουσι· ταῦτα γάρ εἰσι Θεοῦ κρίματα, ὧν τά μέν γίνονται κατ' εὐδοκίαν, τά δέ κατά παραχώρησιν· ἄλλα δέ καί δι' εἴδησιν καί δι' ἀπειλήν καί σωφρονισμόν ἑτέρων γίνονται. Καί τῷ μέν προγνωστικῷ λόγῳ οἶδε πάντα καί γινώσκει, καί τῷ θελήματι αὐτοῦ γίνονται· ὡς δή καί ἐπί τῶν στρουθίων λέγει τό ἱερόν Εὐαγγέλιον· οὐ μήν δέ ὁρίζει οὕτω γίνεσθαι, πλήν τινων, ἅμα τό παραχθῆναι τυχόν, τόν μέν πνιγῆναι, τόν δέ θανεῖν, καί τόν μέν γέροντα, τόν δέ νήπιον, ἀλλ' ἅπαξ ὥρισε τόν καθολικόν καί ἀνθρώπινον χρόνον καί τούς τοιούτους τῶν θανάτων τρόπους. Ἐντός οὖν τῶν τοσούτων χρόνων οἱ διάφοροι τρόποι τῶν θανάτων
48 ἐπάγονται, οὐ μήν ἐξ ἀρχῆς ὁρίζοντος τοῦ Θεοῦ, γινώσκοντος μέντοι· πρός δέ τήν πολιτείαν ἑνός ἑκάστου ἡ βουλή τοῦ Θεοῦ τόν τε χρόνον καί τόν τρόπον τοῦ θανάτου αὐτοῦ σχεδιάζει. Εἰ δέ προορισμόν ζωῆς λέγει ὁ μέγας Βασίλειος, ἀλλά τό *Γῆ εἰ καί εἰς γῆν ἀπελεύσῃ* αἰνίττεται· λέγει γάρ ὁ ἀπόστολος, Κορινθίοις γράφων· *Διότι ἀναξίως μεταλαμβάνετε, διά τοῦτο ἐν ὑμῖν πολλοί ἀσθενεῖς καί ἄῤῥωστοι καί κοιμῶνται ἱκανοί, ἤτοι*

ἀποθνήσκουσι πολλοί. Καί Δαβίδ· *Μή ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου.* Καί· *Παλαιστάς ἔθου τάς ἡμέρας μου.* Καί ὁ Σολομών· *Υἱέ, τίμα τόν πατέρα σου, ὅπως ἔσῃ πολυχρόνιος.* Καί πάλιν· *Ἵνα μή ἀποθάνῃς ἐν οὐ καιρῷ σου.* Καί ἐν τῷ Ἰώβ πρός τόν Ἐλιφάζ ὁ Θεός λέγει· *Ἐξωλόθρευσα ἄν ὑμᾶς, εἰ μή διά Ἰώβ τόν θεράποντά μου.* Ὥστε δείκνυται οὐχ ὅρον εἶναι ζωῆς· εἰ δέ τις τοῦτο φησίν, ὅρον μοι νόει Θεοῦ τήν θέλησιν αὐτοῦ· ᾧ γάρ βούλεται, προστίθησιν, ἐλαττοῖ δέ ἕτερον, πάντα πρός τό συμφέρον οἰκονομῶν· καί ὅτε θελήσει ὁ Θεός, οἰκονομεῖ τόν τε τρόπον καί τόν χρόνον. Ὅρος οὖν ἑκάστου ζωῆς ἐστιν, ὡς ὁ μέγας φησίν Ἀθανάσιος, ἡ θέλησις καί ἡ βουλή τοῦ Θεοῦ. Τούτῳ τῷ λόγῳ καί τῷ βάθει τῶν κριμάτων σου, Χριστέ, θεραπεύσεις. Καί τό τοῦ μεγάλου Βασιλείου, *Θάνατοι*, λέγοντος, *ἐπάγονται, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, ὅρους δέ ζωῆς τό θέλημα λέγομεν τοῦ Θεοῦ. Εἰ γάρ ὅρος ἐστί ζωῆς, τίνος χάριν δεόμεθα Θεοῦ καί ἰατρῶν καί ὑπέρ τῶν παίδων εὐχόμεθα;*

Εἰδέναι δέ καί τοῦτο χρεών, ὅτι τά βεβαπτισμένα νήπια τῆς τρυφῆς ἀπολαύσουσι· τά δέ ἀφώτιστα καί τά τῶν ἐθνῶν οὔτε εἰς τρυφήν οὔτε εἰς γέενναν ἥξουσιν. Ἐξιοῦσα μέν οὖν ἡ ψυχή τοῦ σώματος οὐδεμίαν φροντίδα τῶν ἐνταῦθα ἔχει, ἀλλά τῶν ἐκεῖσε ἀεί φροντίζει. Τρίτα δέ ποιοῦμεν, ὅτι τῇ τρίτῃ ἡμέρᾳ ὁ ἄνθρωπος ἀλλοιοῦται τήν ὄψιν· ἔνατα δέ, ὅτι πᾶσα τότε διαῤῥεῖ ἡ πλάσις, σωζομένης τῆς καρδίας μόνης· τεσσαρακο-

στά δέ, ὅτι καί αὐτή ἡ καρδία τότε ἀπόλλυται. Καί ἡ γέννησις γάρ οὕτω προβαίνει· τῇ γάρ τρίτῃ ἡμέρᾳ ζωγραφεῖται ἡ καρδία· τῇ δέ ἐνάτῃ πήγνυται εἰς σάρκα· τῇ δέ τεσσαρακοστῇ εἰς τελείαν ὄψιν διατυποῦται. Διά ταύτην τήν αἰτίαν τῶν ψυχῶν μνείαν ποιούμεθα.

Τάς τῶν προαναπαυσαμένων ψυχάς ἐν ταῖς τῶν δικαίων σου σκηναῖς κατάταξον, Δέσποτα Χριστέ, καί ἐλέησον ἡμᾶς ὡς μόνος ἀθάνατος. Ἀμήν.

Β΄

Τῷ Σαββάτῳ τούτῳ, ὁποῦ προηγεῖται τῆς Δευτέρας Παρουσίας, οἱ Θειότατοι Πατέρες ἐθέσπισαν, νά ἐπιτελῶμεν μνήμην ὅλων τῶν ἀπ' αἰῶνος εὐσεβῶς τελευτησάντων ἀνθρώπων, ἀπό φιλανθρωπίαν εἰς τοῦτο κινούμενοι. Ἐπειδή γάρ μεταξύ τῶν πολλῶν καί διαφόρων θανάτων, ὁποῦ συμβαίνουν εἰς τούς ἀνθρώπους, ἴσως πολλοί πένητες καί ἄποροι, δέν ἠξιώθησαν τῶν ἐκκλησιαστικῶν ψαλμῳδιῶν καί μνημοσύνων, διά τοῦτο οἱ θεῖοι Πατέρες διέταξαν, νά κάμνῃ ἡ Καθολική Ἐκκλησία μνημόσυνα κοινά δι' ὅλους, διά νά περιλαμβάνωνται μέσα εἰς τά κοινά, καί ὅσοι κατά μέρος δέν ἔτυχον τῶν συνήθων μνημοσύνων, ἀπό κάποιαν ἀφορμήν. Ταύτην δέ τήν περί τῶν μνημοσύνων διάταξιν, ἀπό τούς Ἱερούς Ἀποστόλους ἔλαβον οἱ Πατέρες, κατά

παράδοσιν, διδάσκοντες, ὅτι τά ὑπέρ τῶν κεκοιμημένων γενόμενα, μεγάλην εἰς αὐτούς προξενοῦσιν ὠφέλειαν. Λοιπόν, κατά ἕνα τρόπον τοῦτον ὁποῦ εἴπομεν, ἡ τοῦ Θεοῦ ἐκκλησία ἐπιτελεῖ σήμερον τά κοινά μνημόσυνα· κατά δεύτερον δέ, ἐπειδή ἔμελλον τήν αὔριον, ἤτοι τήν Κυριακήν, νά βάλουν τήν Δευτέραν τοῦ Χριστοῦ Παρουσίαν, οὕτως ἁρμοδίως, διώρισαν νά γίνωνται σήμερον ὅλων τῶν ψυχῶν τά μνημόσυνα, τρόπον τινά δεόμενοι καί παρακαλοῦντες τόν φοβερόν καί ἀλάνθαστον Κριτήν νά γένῃ ἵλεως πρός αὐτούς, δεικνύων πρός αὐτούς τήν φυσικήν του συμπάθειαν, καί νά τούς κατατάξῃ, εἰς ἐκείνην τήν τρυφήν, τήν ὁποίαν ὁ ἴδιος ὑπέσχετο· καί κατά ἄλλον τρόπον ἀκόμη, ἐπειδή σκοπόν ἔχουν οἱ Ἅγιοι, εἰς τήν ἐρχομένην Κυριακήν, νά βάλουν καί τήν ἐξορίαν τοῦ Ἀδάμ, τρόπον τινά προεπινοοῦσιν, ὡσάν μίαν κατάπαυσιν, καί τέλος ὅλων τῶν ἀνθρωπίνων, μέ τήν σημερινήν κατάπαυσιν, διά νά ἀρχίσουν ἐκεῖθεν, ἤτοι ἀπό τήν ἐξορίαν τοῦ Ἀδάμ ὡσάν ἀπό ἀρχήν. Ἐπειδή τό πλέον ὁλοϋστερινόν ἀπό ὅλα τοῦ Κόσμου τούτου, ἡ ἐξέτασις εἶναι τῶν ἐδικῶν μας πράξεων, ὁποῦ μέλλει νά γένῃ ἀπό τόν ἀδέκαστον Κριτήν. Ἐν Σαββάτῳ δέ πάντοτε κοινῶς μνημονεύομεν τῶν Ψυχῶν, ἐπειδή τό Σάββατον ὁποῦ εἶναι ὄνομα Ἑβραϊκόν θέλει νά εἰπῇ κατάπαυσις· καί λοιπόν, ἐπειδή καί οἱ ἀπεθαμμένοι, ἔπαυσαν ἀπό τά βιωτικά, καί ἀπό ὅλα τά ἄλλα, ἤγουν φροντίδας, καί περισπασμούς, διά

τοῦτο καί εἰς τήν ἡμέραν, ὁποῦ σημαίνει κατάπαυσιν, ποιοῦμεν ὑπέρ αὐτῶν τάς δεήσεις, καί τοῦτο ἐπεκράτησε νά γίνηται, ὡς εἴπομεν, κάθε Σάββατον· ἀλλ' εἰς τό σημερινόν τοῦτο, κοινῶς καί καθόλου μνημονεύομεν δεόμενοι τοῦ Θεοῦ, δι' ὅλους τούς εὐσεβεῖς. Διότι, μέ τό νά ἠξεύρουν καλῶς οἱ Θεῖοι Πατέρες, ὅτι τά γινόμενα ὑπέρ τῶν κεκοιμημένων, μνημόσυνα δηλαδή, καί ἐλεημοσύναι, καί Λειτουργίαι, μεγάλην ὠφέλειαν προξενοῦσιν εἰς αὐτούς, διά τοῦτο παρακινοῦσι καί διδάσκουσι, καί μερικῶς καθ' εἷς νά τά κάμνῃ διά τούς ἐδικούς του, καί κοινῶς ἡ Ἐκκλησία καθόλου, καθώς ἐκ τῶν Ἁγίων Ἀποστόλων, αὐτήν τήν πρᾶξιν παρέλαβον, ὡς προείπομεν, καί ὁ μέγας Διονύσιος ὁ Ἀρειοπαγίτης αὐτό τοῦτο παραδίδωσιν. Ὅτι δέ ὠφελοῦσι τάς ψυχάς τά ὑπέρ αὐτῶν ὑπό τῆς Ἐκκλησίας γινόμενα, καί ἀπό ἄλλα μέν πολλά τοῦτο δεικνύεται, μάλιστα δέ καί ἐκ τῆς Ἱστορίας τοῦ Ἁγίου Μακαρίου· ὅτι αὐτός ὁ Πατήρ εὑρών ἕν ξηρόν κρανίον ἀνδρός ἀσεβοῦς Ἕλληνος, ἐκεῖ ὁποῦ ἐπήγαινεν εἰς δρόμον, ἠρώτησεν αὐτό, ἀνίσως καμμίαν φοράν εἰς τόν ᾍδην αἰσθάνονται καμμίαν παραμυθίαν· καί ἀπεκρίθη τό κρανίον λέγον, ναί τίμιε Πάτερ, πολλήν ἄνεσιν λαμβάνομεν, ὅταν ὑπέρ τῶν κεκοιμημένων παρακαλῇς τόν Θεόν. Ὅτι ἔκαμνε τοῦτο ὁ μέγας Μακάριος, καί τόν Θεόν παρεκάλει νά τῷ ἀποκαλύψῃ, ἀνίσως ἐκ τῶν προσευχῶν αὐτοῦ, ἐλάμβανον οἱ προκεκοιμημένοι καμμίαν ὠφέλειαν. Ἀλλά καί


Γρηγόριος ὁ Διάλογος, διά προσευχῆς τόν Βασιλέα Τραϊανόν ἔσωσεν, ὅμως ἤκουσεν ἀπό τόν Θεόν, δεύτερον νά μή παρακαλέσῃ ὑπέρ ἀσεβοῦς. Πρός τούτοις, ἔχομεν ἀπό τήν Ἐκκλησιαστικήν Ἱστορίαν, ὅτι καί Θεοδώρα ἡ Βασίλισσα, ἐξήρπασε τῶν βασάνων, τόν εἰκονομάχον Θεόφιλον τόν ἄνδρα της, μέ τάς ἐκτενεῖς προσευχάς καί δεήσεις τῆς Ἐκκλησίας, καί τῶν Ἁγίων καί τῶν Ὁμολογητῶν Ἀνδρῶν. Βεβαιώνουσι δέ πολλοί μεγάλοι Πατέρες καί Διδάσκαλοι τῆς Ἐκκλησίας, ὡς καλάς καί ὠφελίμους, τάς ὑπέρ τῶν κεκοιμημένων γινομένας ἐλεημοσύνας· ἀπό τούς ὁποίους εὐθύς εἷς ὁ Θεολόγος Γρηγόριος, εἰς τόν ἐπιτάφιον ὁποῦ κάμνει, εἰς τόν ἀδελφόν του τόν Καισάριον. Μετά τοῦτον, ὁ μέγας Χρυσόστομος ἐν τῇ πρός Φιλιππησίους, οὕτω λέγει· ἄς ἐπινοήσωμεν διά τούς κεκοιμημένους ὠφέλειαν· ἄς δώσωμεν εἰς αὐτούς τήν δυνατήν βοήθειαν, ἐλεημοσύνας λέγω, καί προσφοράς, ὅτι μεγάλην ὠφέλειαν, καί πολύ τό κέρδος προξενοῦσιν εἰς αὐτούς τά παρ' ἡμῶν γινόμενα. Ὅτι οὐχ' οὕτως ἁπλῶς καί ματαίως αὐτά ἐνομοθετήθησαν, καί εἰς τήν Ἐκκλησίαν τοῦ Θεοῦ ὑπό τῶν Ἱερῶν Ἀποστόλων ἐπαρεδόθησαν, καί ἐπί τῶν φρικτῶν Μυστηρίων, νά μνημονεύῃ ὁ Ἱερεύς ὑπέρ τῶν κεκοιμημένων. Καί πάλιν ὁ αὐτός χρυσοῦς Ἅγιος, λέγει εἰς τήν διαθήκην σου, βάλε συγκληρονόμον ὁμοῦ μέ τά παιδία καί τούς συγγενεῖς, καί τό ὄνομα τοῦ κριτοῦ, καί ὁ χάρτης ἄς ἔχει μέσα καί

τήν ἐνθύμησιν τῶν πτωχῶν, καί ἐγώ σοῦ γίνομαι τούτων ἐγγυητής. Καί ὁ μέγας Ἀθανάσιος, κἄν εἰς τόν ἀέρα ὁ εὐσεβής τελειωθείς διελύθη, μήν ἀποφεύγῃς, ἀπό τό νά ἀνάπτῃς εἰς τόν τάφον του κηρίον καί ἔλαιον, παρακαλέσας Χριστόν τόν Θεόν· ὅτι δεκτά εἶναι ταῦτα κοντά εἰς τόν Θεόν, καί πολλήν προξενοῦσιν τήν ἀντίδοσιν. Ἕως νά φθάσῃ λοιπόν ἡ Δευτέρα Παρουσία τοῦ Χριστοῦ, ὅσα ὑπέρ τῶν κεκοιμημένων γίνονται, ὠφέλειαν προξενοῦσι, κατά τούς θείους Πατέρας, καί μάλιστα εἰς ἐκείνους ὁποῦ εἶχον πράξει ὀλίγα τινά καλά, καί ἐν μετανοίᾳ καί ἐξομολογήσει, ἐξῆλθον ἀπό τήν παροῦσαν ζωήν. Εἰ δέ λέγει κάποια τινά (καθώς πρέπει) ἡ Θεία Γραφή, πρός σωφρονισμόν τῶν πολλῶν, ἀλλ' ὡς ἐπί τό πλεῖστον, ἡ φιλανθρωπία τοῦ Θεοῦ νικᾷ. Πρέπει δέ νά ἠξεύρωμεν, ὅτι μετά θάνατον, οἱ δίκαιοι ὅλοι θέλουν γνωρίσει ἀλλήλους, καί ὅσους ἤξευρον, καί ὅσους πώποτε δέν εἶδον, καθώς λέγει ὁ θεῖος Χρυσόστομος, βεβαιώνων τόν λόγον του, ἀπό τήν παραβολήν τοῦ πλουσίου καί τοῦ Λαζάρου. Ὅμως ὄχι ἀπό σωματικόν σημεῖον, ἐπειδή ὅλοι θέλουν ἔχει μίαν ἡλικίαν, καί τά φυσικά γνωρίσματα θέλουσι λείψει, καί μέ μόνον τό διορατικόν χάρισμα τῆς ψυχῆς, θέλουν γνωρίζεσθαι· καθώς λέγει καί ὁ Θεολόγος ἐν τῷ εἰς Καισάριον τόν ἀδελφόν του ἐπιταφίῳ, τότε λέγων, Καισάριον ὄψομαι, φαιδρόν, ἔνδοξον, οἷος μοι κατ' ὄναρ πολλάκις ἐφάνης, ἀδελφῶν, φίλτατε. Τά ἴδια λέγει καί ὁ μέγας Ἀθανά-

σιος ἐν τῷ ὑπέρ τῶν κεκοιμημένων λόγῳ, ὅτι καί πρίν τῆς κοινῆς Ἀναστάσεως, οἱ Ἅγιοι ἔλαβον χάρισμα παρά Θεοῦ, νά γνωρίζουν ἀλλήλους καί νά συνευφραίνωνται· οἱ δέ ἁμαρτωλοί καί τούτου ὑστέρηνται. Εἰς δέ τούς Ἁγίους Μάρτυρας ἐδόθη, λέγει, τό νά ἐφορῶσι καί τά παρ' ἡμῶν τελούμενα, καί νά μᾶς ἐπισκέπτωνται εἰς τάς ἀνάγκας μας. Εἰς δέ τήν ἡμέραν ἐκείνην, ὅλοι θέλουν γνωρίσει, ἀλλήλους, ὅταν καί τά κεκρυμμένα ἔχουν νά φανερωθοῦν. Πρέπει δέ νά ἠξεύρωμεν, ὅτι κατά τό παρόν, ἤτοι πρό τῆς κοινῆς Ἀναστάσεως, αἱ ψυχαί τῶν δικαίων, εἴς τινας διωρισμένους τόπους εὑρίσκονται· καί πάλιν τῶν ἁμαρτωλῶν, εἰς ἄλλο μέρος, καί οἱ μέν δίκαιοι μέ τήν καλήν των ἐλπίδα χαίρουσιν, οἱ δέ ἁμαρτωλοί, μέ τό νά ἀπαντέχωσι τά δεινά, λυποῦνται. Ἐπειδή οἱ Ἅγιοι δέν ἔλαβον ἀκόμη τήν ἐπαγγελίαν τῶν ἀγαθῶν, κατά τόν θεῖον Ἀπόστολον, λέγοντα, τοῦ Θεοῦ περί ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μή χωρίς ἡμῶν τελειωθῶσιν. Ἄς μή νομίζῃ δέ τις, ὅτι ὅλοι ἐκεῖνοι, ὁποῦ κρημνίζονται ἤ πνίγονται εἰς τήν θάλασσαν, ἤ εἰς τό πῦρ καίονται· καί ἀπό τά λεγόμενα θανατικά, ἤ ἀπό ψῦχος, καί πεῖναν ἐκτρίβονται, ἄς μή νομίζῃ, λέγω, τίς, ὅτι κατά προσταγήν Θεοῦ ταῦτα πάσχουσιν. Ὅτι τά ἔργα τῆς Θείας Προνοίας, ἄλλα γίνονται κατά τό προηγούμενον θέλημα τοῦ Θεοῦ, ὁποῦ λέγεται εὐδοκία, καί ἄλλα γίνονται κατά τό δεύτερον, ἤτοι ἑπόμενον, ὁποῦ λέγεται παραχώρησις,

καί ἄλλα γίνονται πρός εἴδησιν καί σωφρονισμόν ἄλλων· καί ὁ μέν Θεός ὡς προγνώστης, πάντα βλέπει, καί πάντα γινώσκει, ὅσα μέλλουν νά γένουν, καί μέ τό θέλημά του γίνονται, εἴτε τό προηγούμενον, εἴτε τό ἑπόμενον, καθώς διά τά στρουθία λέγει τό Ἱερόν Εὐαγγέλιον, ὅμως δέν ὁρίζει, τοῦτ᾽ ἔστι δέν ἀποφασίζει, οὕτως, ἤ οὕτως νά γένουν, ἤγουν οὗτος φερ᾽ εἰπεῖν, νά πνιγῇ, ἐκεῖνος δέ νά ἀποθάνῃ μέ τόν φυσικόν θάνατον, ἤ οὗτος μέν γέρων νά ἀποθάνῃ, ἐκεῖνος δέ νήπιον· ἀλλά μίαν φοράν ἀπεφάσισε τόν καθολικόν καί ἀνθρώπινον χρόνον, καί τούς διαφόρους τρόπους τῶν θανάτων, καί προορισμός δέν εἶναι ζωῆς. Εἰ δέ καί λέγει ὁ μέγας Βασίλειος ζωῆς ὅρον, ἀλλά τό γῆ εἶ, καί εἰς γῆν ἀπελεύσει, δηλοῖ ὁ Πατήρ· διότι ἄν ἦτον διωρισμένη ἡ ζωή τοῦ καθ᾽ ἑνός ἀνθρώπου, διατί λέγει πρός Κορινθίους ὁ Ἀπόστολος, ὅτι μέ τό νά μεταλαμβάνετε ἀναξίως τό Σῶμα καί Αἷμα τοῦ Χριστοῦ, διά τοῦτο ἐν ἡμῖν πολλοί ἀσθενεῖς, καί ἄῤῥωστοι, καί κοιμῶνται ἱκανοί, ἤτοι ἀποθνήσκουσι πολλοί; καί διατὶ ὁ Δαβίδ, λέγει, μή ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου; καί παλαιστάς ἔθου τάς ἡμέρας μου· καί ὁ Σολομών, υἱέ τίμα τόν πατέρα σου, ὅπως ἔσῃ πολυχρόνιος· καί πάλιν, ἵνα μή ἀποθάνῃς ἐν οὐ καιρῷ σου· καί ἐν τῷ Ἰώβ, πρός τόν Ἐλιφάζ λέγει ὁ Θεός, ἐξωλόθρευσα ἄν ὑμᾶς, εἰ μή διά Ἰώβ τόν θεράποντά μου. Ἀλλά καί ἀπό τοῦτο εἶναι φανερόν, πώς δέν εἶναι διωρισμένη ἡ ζωή· διότι ἄν ἦτον ὅρος

ζωῆς, διά ποίαν αἰτίαν παρακαλοῦμεν τόν Θεόν, καί ἰατρούς καλοῦμεν, καί ὑπέρ τῶν παιδίων εὐχόμεθα, διά νά ζήσουν; καί τοῦτο δέ τελευταῖον πρέπει νά ἠξεύρωμεν, τά βεβαπτισμένα νήπια ἀποθνήσκοντα ἀπολαύουσι τῆς τρυφῆς· τά δέ ἀφώτιστα καί τά τῶν ἐθνῶν, οὔτε εἰς τρυφήν, οὔτε εἰς τήν γέενναν ὑπάγουσιν. Ἀφ' οὗ λοιπόν ἡ ψυχή ἐξέλθῃ ἀπό τό σῶμα, καμμίαν φροντίδα δέν ἔχει διά τά τοῦ κόσμου, ἀλλά μόνον διά τά ἐκεῖ φροντίζει. Τρίτα δέ μνημόσυνα ποιοῦμεν, ὅτι τῇ τρίτῃ ἡμέρᾳ ὁ ἄνθρωπος ἀλλάζει τήν ὄψιν, καί μεταβάλλεται. Ἔννατα δέ, ὅτι τότε ὅλη ἡ πλάσις φθείρεται, καί μόνη μένει ἡ καρδία. Τεσσαρακοστά δέ, ὅτι καί αὐτή ἡ καρδία ἀπόλλυται, καί ἡ γέννησις δέ οὕτω προβαίνει. Τῇ τρίτῃ ἡμέρᾳ σχεδιάζεται ἡ καρδία. Τῇ ἐννάτῃ πήγνυται καί γίνεται σάρκα· τῇ δέ τεσσαρακοστῇ εἰς τελείαν ὄψιν καταντᾷ. Διά ταύτην τήν αἰτίαν κάμνομεν τῶν ψυχῶν τά μνημόσυνα· τάς ὁποίας εἴθε νά κατατάξῃ ὁ Δεσπότης Χριστός ἐν ταῖς τῶν δικαίων αὐτοῦ σκηναῖς, καί ἡμᾶς ἐλεῆσαι ὡς μόνος ἀθάνατος. Ἀμήν.





ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΠΟΚΡΕΩ

(ΤΗΣ ΜΕΛΛΟΥΣΗΣ ΚΡΙΣΕΩΣ)

Τῇ αὐτῇ ἡμέρᾳ, τῆς δευτέρας καί ἀδεκάστου παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μνείαν ποιούμεθα.

Α΄

Ταύτην οἱ θειότατοι πατέρες μετά τάς δύο παραβολάς ἔθεντο, ὡς ἄν μή τις, τήν ἐν ἐκείναις τοῦ Θεοῦ φιλανθρωπίαν μανθάνων, ἀμελῶς διάγῃ λέγων· Φιλάνθρωπός ἐστιν ὁ Θεός, καί ὅταν τῆς ἁμαρτίας ἀναχωρήσω, ἑτοίμως ἔχω τό πᾶν ἀνύσαι, ταύτην τήν φοβεράν ἡμέραν ἐνταῦθα κατέταξαν, ἵνα, διά τοῦ θανάτου καί τῆς προσδοκίας τῶν ἐσομένων δεινῶν φοβήσαντες τούς ἀμελῶς διακειμένους, πρός ἀρετήν ἐπαναγάγωσι, μή θαῤῥοῦντας εἰς τό φιλάνθρωπον μόνον, ἀλλ᾽ ἀφορᾶν ὅτι καί δίκαιός ἐστι κριτής καί ἀποδίδωσιν ἑκάστῳ κατά τά ἔργα αὐτοῦ. Ἄλλως τε, καί τῶν ψυχῶν προηγησαμένων, ἐχρῆν παραγενέσθαι καί τόν κριτήν.

Τρόπον δέ τινα καί ἡ παροῦσα ἑορτή ὡσανεί τέλος πασῶν τίθεται νῦν, ὅτι καί αὕτη πάντων ἔσται τῶν καθ᾽ ἡμᾶς τελευταία. Χρή γάρ σκοπεῖν ὡς τῇ ἐσομένῃ Κυ-

ριακῇ τήν ἀρχήν τοῦ κόσμου καί αὐτήν τήν ἀπό τοῦ παραδείσου ἔκπτωσιν θήσουσι τοῦ Ἀδάμ· ἡ δέ παροῦσα πάντων τῶν ἡμετέρων τέλος καί τοῦ κόσμου αὐτοῦ. Ἐν τῇ Ἀπόκρεῳ δέ ταύτην ἔθεντο, καταστέλλοντες, οἶμαι, τήν τρυφήν καί ἀδηφαγίαν διά τόν φόβον τῆς ἑορτῆς, καί πρός τήν τῶν πλησίον συμπάθειαν ἡμᾶς ἐκκαλούμενοι. Καί ἄλλως· ἐπειδή τρυφήσαντες ἐξώσθημεν τῆς Ἐδέμ καί ὑπό κρίσιν γεγόναμεν καί ἀράν, κατά ταῦτα ἐνταῦθα ἡ παροῦσα τέθειται ἑορτή· καί ὅτι μέλλομεν τῇ ἄλλῃ διά τοῦ Ἀδάμ Κυριακῇ κατά τόν τύπον τῆς Ἐδέμ ἐκβληθῆναι, ἕως οὗ ἡμᾶς Χριστός ἐλθών πάλιν ἐπαναγάγῃ πρός τόν παράδεισον. Δευτέρα δέ παρουσία εἴρηται, ὅτι καί πρῶτον σωματικῶς πρός ἡμᾶς ἐπεδήμησεν, ἀλλ' ἠρέμα καί χωρίς δόξης· νῦν δέ μετά ὑπερφυῶν θαυμασίων ἐλεύσεται καί περιφανοῦς τῆς λαμπρότητος οὐρανόθεν καί μετά σώματος, ὡς ἄν γνωσθείη πᾶσιν ὅτι οὗτός ἐστιν ὁ καί πρῶτα ἐλθών καί τό γένος τῶν ἀνθρώπων ῥυσάμενος, καί κρῖναι πάλιν μέλλων αὐτό, εἰ καλῶς τά δεδομένα αὐτῷ διετήρησε.

60

Πότε μέν τοι γενήσεται ἡ αὐτοῦ παρουσία, οὐδείς οἶδε· τοῦτο γάρ καί ὁ Κύριος τοῖς ἀποστόλοις ἀπέκρυψε· τέως γε μήν σημεῖά τινα ἐνέφηνε προηγήσασθαι, ἅ τινες τῶν ἁγίων καί πλατύτερον διεσάφησαν. Λέγεται δέ ὅτι μετά τήν τῶν ἑπτά χιλιάδων χρόνων παρέλευσιν ἔσται. Πρό δέ τῆς αὐτοῦ παρουσίας ἐλεύσεται ὁ ἀντίχριστος, καί γεννηθήσεται (ὥς φησιν

ὁ ἅγιος Ἱππόλυτος Ῥώμης) ἐκ γυναικός μιαρᾶς καί παρθένου μέν τό δοκεῖν, ἐξ Ἑβραίων δέ οὔσης, ἀπό τῆς φυλῆς Δάν, ὅς ἦν παῖς τοῦ Ἰακώβ, καί περιπατήσει δῆθεν τήν κατά Χριστόν μετερχόμενος πολιτείαν καί θαύματα ἐκτελέσει, ὅσα δῆτα καί ὁ Χριστός ἐνήργησε, καί νεκρούς ἀναστήσει· πλήν κατά φαντασίαν ἅπαντα πράξει, καί τήν γέννησιν καί τήν σάρκα καί τά λοιπά πάντα, ὥς φησιν ὁ ἀπόστολος· καί τότε, λέγων, ἀποκαλυφθήσεται *ὁ υἱός τῆς ἀπωλείας* ἐν πάσῃ δυνάμει καί σημείοις καί τέρασι ψεύδους. Πλήν οὐκ αὐτός ὁ διάβολος εἰς σάρκα μεταστοιχειωθήσεται, ὡς ὁ ἐκ Δαμασκοῦ φησιν Ἰωάννης· ἀλλ' ἄνθρωπος ἐκ πορνείας γεννηθείς πᾶσαν τήν τοῦ σατανᾶ ἐνέργειαν ὑποδέξεται καί αἰφνηδόν ἐπαναστήσεται, εἶτα χρηστός καί ἐπιεικής ἅπασι δόξει, καί λιμός τότε μέγας γενήσεται· καί ἐπαρκέσει τῷ λαῷ δῆθεν καί τάς θείας Γραφάς μετελεύσεται καί νηστείαν ἀσκήσει, καί βιασθήσεται ὑπό τῶν ἀνθρώπων καί βασιλεύς ἀνακηρυχθήσεται, καί ἀγαπήσει πλεῖστα τό τῶν Ἑβραίων γένος καί εἰς Ἱερουσαλήμ ἀποκαταστήσει καί τόν ναόν αὐτῶν ἐγερεῖ. Πρό δέ ἑπτά χρόνων, ὥς φησι Δανιήλ, ἐλεύσεται Ἐνώχ καί Ἠλίας, κηρύσσοντες τῷ λαῷ μή δέχεσθαι αὐτόν· ὁ δέ, συσχών αὐτούς, τυραννήσει, εἶτα καί τάς αὐτῶν κεφαλάς ἐκκόψει· οἱ δ' εὐσεβεῖν ᾑρημένοι μακράν φεύξονται· οὕς ἐν ὄρεσιν εὑρών διά δαιμόνων πειράσει· κολοβωθήσονται δέ τά ἑπτά ἔτη ἐκεῖνα διά τούς ἐκλεκτούς, καί λιμός γενή-

σεται μέγας, τῶν στοιχείων ὅλων μετατραπέντων, ὡς ἀφανισθῆναι μικροῦ δεῖν ἅπαντας.

Μετά δέ ταῦτα ὡσεί ἀστραπή οὐρανόθεν ἡ τοῦ Κυρίου παρουσία γενήσεται, προπορευομένου τοῦ τιμίου αὐτοῦ Σταυροῦ, καί ποταμός πυρός καχλάζων αὐτοῦ προπορεύσεται, πᾶσαν τήν γῆν τῶν μιασμάτων ἀποκαθαίρων. Συσχεθήσεται δέ αὐτίκα ὁ ἀντίχριστος καί οἱ αὐτοῦ ὑπηρέται καί παραδοθήσονται τῷ αἰωνίῳ πυρί. Σαλπισάντων δέ τῶν ἀγγέλων, ἥξει ἀθρόον ἐκ τῶν περάτων τῆς γῆς καί ἀπό πάντων τῶν στοιχείων σύμπαν τό ἀνθρώπινον γένος εἰς Ἱερουσαλήμ, ὅτι μέση τοῦ κόσμου αὕτη, καί ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν· πλήν μετά τῶν ἰδίων σωμάτων καί τῶν ψυχῶν, πάντων πρός ἀφθαρσίαν μεταστοιχειωθέντων καί μίαν ἐχόντων μορφήν, καί αὐτῶν δέ τῶν στοιχείων τήν ἐπί τό κρεῖττον δεξαμένων ἀλλοίωσιν· καί διαχωρίσει ἑνί λόγῳ ὁ Κύριος δικαίους ἀπό τῶν ἁμαρτωλῶν· καί πορεύσονται οἱ τῶν ἀγαθῶν ἐργάται αἰώνιον ζωήν κομιζόμενοι·
62 οἱ δέ ἁμαρτωλοί αἰώνιον πάλιν τήν βάσανον, καί οὐδέποτε τούτων παῦσις γενήσεται.

Ἰστέον δέ ὡς οὐ νηστείαν τότε ζητήσει καί γυμνείαν καί θαύματα ὁ Χριστός· καλά μέν γάρ καί ταῦτα· ἀλλά τά πολλῷ τούτων κρείττονα, ἐλεημοσύνην δηλαδή καί συμπάθειαν· ἐρεῖ γάρ δικαίοις καί ἁμαρτωλοῖς ἔξ τινά· *Ἐπείνασα γάρ, καί ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καί ἐποτίσατέ με· ξένος ἤμην, καί συνηγάγετέ με· γυμνός,*

καί περιεβάλετέ με· ἠσθένησα, καί ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην καί ἤλθετε πρός με· ἐφ' ὅσον ἐποιήσατε ἑνί τούτων τῶν ἐλαχίστων, ἐμοί ἐποιήσατε· ἅπερ καί δύναται ποιεῖν πᾶς τις κατά δύναμιν. Τότε οὖν *πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστός εἰς δόξαν Θεοῦ Πατρός.* Αἱ βάσανοι μέντοι, ἅς τό ἱερόν Εὐαγγέλιον παραδέδωκεν, αὗται εἰσίν· *Ἐκεῖ ἔσται ὁ κλαυθμός καί ὁ βρυγμός τῶν ὀδόντων· ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει καί τό πῦρ αὐτῶν οὐ σβεσθήσεται·* καί *Βάλετε αὐτόν εἰς τό σκότος τό ἐξώτερον·* ἅ δή πάντα λαμπρῶς ἡ Ἐκκλησία τοῦ Θεοῦ δεχομένη, οἴεται τρυφήν μέν καί βασιλείαν οὐρανῶν εἶναι τήν μετά τοῦ Θεοῦ τῶν ἁγίων συνδιαγωγήν καί τήν ἐσομένην ἐκείνοις ἔλλαμψιν διηνεκῆ καί ἀνάβασιν· βάσανον δέ καί σκότος καί τά τοιαῦτα τόν ἀπό Θεοῦ μακρυσμόν καί τήν τῶν ψυχῶν διά τοῦ συνειδότος δαπάνην, ὅπως δι' ἀμελείας καί τρυφῆς προσκαίρου τῆς θεϊκῆς ἐλλάμψεως ἐστερήθησαν.

Τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστέ ὁ Θεός, τῆς εὐκταίας σου φωνῆς ἡμᾶς καταξίωσον, καί τοῖς ἐκ δεξιῶν σου συναρίθμησον, καί ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Μετά τάς δύο παραβολάς τοῦ Τελώνου καί Φαρισαίου δηλαδή καί τοῦ Ἀσώτου, οἱ Θειότατοι Πατέρες διέταξαν νά ποιῶμεν τήν μνήμην τῆς Δευτέρας Παρουσίας τοῦ Χριστοῦ, τάχα διά νά μή τύχῃ τίς καί ἀκούων ἐν ἐκείναις τήν φιλανθρωπίαν τοῦ Θεοῦ, πέσῃ εἰς ἀμέλειαν, λέγων μέ τόν νοῦν του, φιλάνθρωπος εἶναι ὁ Θεός, καί ὅταν μίαν φοράν παύσω ἀπό τήν ἁμαρτίαν, εὔκολα θέλει τελειώσει τό πᾶν. Διά τοῦτο ἔταξαν ἐνταῦθα τήν φοβεράν ἐκείνην ἡμέραν, διά νά φοβήσουν τούς ἀμελεῖς, μέ τό μέσον τοῦ θανάτου, καί μέ τήν προσδοκίαν τῶν βασάνων, καί νά τούς διεγείρωσιν εἰς κατόρθωσιν ἀρετῆς, νά μήν ἀποβλέπωσι μόνον εἰς τήν φιλανθρωπίαν τοῦ Θεοῦ, καί ἀποθαῤῥοῦσιν, ἀλλά νά συλλογίζωνται, καί ὅτι δίκαιός ἐστι Κριτής, καί ἀποδίδει εἰς καθ' ἕνα κατά τά ἔργα αὐτοῦ· καί κατά ἄλλον δέ τρόπον, ἐπειδή προηγήθησαν αἱ ψυχαί, ἔπρεπε νά ἔλθῃ ὁ Κριτής. Τρόπον τινά δέ καί ἡ παροῦσα ἑορτή, ὡσάν τέλος εἶναι πασῶν τῶν ἑορτῶν· ὅτι καί αὕτη τελευταία θέλει εἶναι ὅλων τῶν καθ' ἡμᾶς. Ὅτι πρέπει νά στοχαζώμεθα πῶς εἰς τήν ἐρχομένην Κυριακήν, θέλομεν βάλει τήν ἀρχήν τοῦ Κόσμου, καί αὐτήν τήν ἀπό τοῦ παραδείσου ἔξωσιν τοῦ Ἀδάμ. Ἡ δέ παροῦσα εἶναι τέλος ὅλων τῶν ἡμετέρων σπουδῶν καί πράξεων, καί τοῦ κόσμου αὐτοῦ. Ἔβαλον δέ αὐτήν ἐν τῇ ἡμέρᾳ τῆς Ἀποκρέω, νομίζω, τάχα διά νά συστείλουν τήν τρυφήν, καί τήν ἀφροσύνην, ἀπό τόν

φόβον τῆς ἑορτῆς, καί νά σύρουν τούς ἀνθρώπους εἰς τήν συμπάθειαν τῶν πλησίων· καί ἄλλως, ἐπειδή τῇ ἐρχομένῃ Κυριακῇ μέ τό πρόσωπον τοῦ Ἀδάμ, θέλομεν ἀποβληθῆ τυπικῶς ἀπό τήν τρυφήν τοῦ παραδείσου, ἕως ὁποῦ νά ἔλθῃ ὁ Χριστός, καί νά μᾶς ἐπαναγάγῃ πάλιν εἰς τόν παράδεισον. Δευτέρα δέ Παρουσία ὀνομάζεται, ὅτι καί πρῶτον σωματικῶς πρός ἡμᾶς ἐπεδήμησεν, ἀλλ' ἠρέμα καί χωρίς δόξης, νῦν δέ μετά ὑπερφυῶν θαυμασίων ἐλεύσεται, καί μετά περιφανοῦς τῆς λαμπρότητος οὐρανόθεν, καί μετά σώματος, διά νά γνωρισθῇ ἀπό ὅλους, ὅτι οὗτος εἶναι καί ὁ πρῶτον ἐλθών, καί τό γένος τῶν ἀνθρώπων ἐλευθερώσας, καί πάλιν μέλλει νά κρίνῃ αὐτό, ἄν ἐφύλαξε καλῶς τά δεδομένα αὐτῷ. Πότε ὅμως ἔχει νά γένῃ ἡ Δευτέρα αὐτοῦ Παρουσία, κανείς δέν ἠξεύρει. Πλήν κάποια σημεῖα ἐδήλωσε πῶς μέλλουν νά προηγηθοῦν, τά ὁποῖα τινές Ἅγιοι, διεσάφησαν πλατύτερον. Λέγεται δέ ὅτι μετά τήν παρέλευσιν τῶν ἑπτά χιλιάδων χρόνων, θέλει γένῃ ἡ Δευτέρα Παρουσία. Προτήτερα δέ ἀπό τήν Δευτέραν Παρουσίαν, θέλει ἔλθει ὁ Ἀντίχριστος, ὁ ὁποῖος, καθώς λέγει ὁ Ἅγιος Ἱππόλυτος, θέλει γεννηθῆ ἀπό γυναῖκα πόρνην, κατά τό φαινόμενον Παρθένον, πλήν Ἑβραίαν οὖσαν, ἀπό τήν φυλήν τοῦ Δάν, υἱοῦ τοῦ Πατριάρχου Ἰακώβ, καί τάχα θέλει περιπατήσει τήν κατά Χριστόν πολιτείαν· καί θαύματα θέλει κάμει, ὅσα καί ὁ Χριστός, καί νεκρούς θέλει ἀναστήσει, ὅμως ὅλα θέλει τά κάμει κατά φαντασίαν, καί τήν γέν-

νησιν, καί τήν σάρκα, καί τά λοιπά πάντα, καθώς λέγει ὁ Ἀπόστολος, καί τότε λέγει θέλει ἀποκαλυφθῆ ὁ υἱός τῆς ἀπωλείας, ἐν πάσῃ δυνάμει, καί σημείοις, καί τέρασι ψεύδους. Πλήν ὄχι αὐτός ὁ διάβολος ἔχει νά μεταβληθῇ εἰς σάρκα, καθώς λέγει ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνός, ἀλλά ἄνθρωπος ἐκ πορνείας γεννηθείς, ἔχει νά δεχθῇ μέσα του ὅλην τήν ἐνέργειαν τοῦ Σατανᾶ, καί ἔξαφνα θέλει ἐπαναστηθῆ. Ἔπειτα θέλει φανῆ τάχα καλός, καί μέτριος, καί τότε ἔχει νά γένῃ πεῖνα μεγάλη, καί τρόπον τινά θέλει κάμει βοήθειαν εἰς τόν λαόν· καί τάς θείας Γραφάς θέλει μελετήσει, καί νηστείαν θέλει κάμει, καί ἀπό τούς ἀνθρώπους ἔχει νά βιασθῇ, καί Βασιλεύς ἔχει νά ἀνακηρυχθῇ, καί εἰς τό γένος τῶν Ἑβραίων θέλει δείξει μεγάλην ἀγάπην, καί εἰς τήν Ἱερουσαλήμ θέλει τούς ἀποκαταστήσει, καί τόν Ναόν των θέλει ἀνακαινίσει. Ἀλλά προτήτερα ἑπτά χρόνους, καθώς λέγει ὁ Δανιήλ, θέλει ἔλθει ὁ Ἐνώχ, καί ὁ Ἠλίας, κηρύττοντες εἰς τόν λαόν νά μή τόν δεχθοῦν. Αὐτός δέ θέλει τούς πιάσει, καί θέλει τούς τυραννήσει, ἔπειτα θέλει κόψει καί τάς κεφαλάς αὐτῶν. Ὅσοι δέ θέλουσι νά μένουν εὐσεβεῖς, θέλουν φεύγει μακράν εἰς τά ὄρη· τούς ὁποίους εὑρίσκων, διά δαιμόνων, θέλει τούς μεταχειρίζεσθαι μέ διαφόρους τιμωρίας. Οἱ δέ ἑπτά χρόνοι ἐκεῖνοι θέλουν κολοβωθῇ, ἤτοι θέλουν ἐλαττωθῇ, διά χάριν τῶν ἐκλεκτῶν. Τότε θέλει γένει καί πεῖνα μεγαλωτάτη, καί τά στοιχεῖα θέλουν μεταβληθῇ, ὥστε ὁποῦ παρ᾽ ὀλίγον ἔχουν νά

ἀφανισθοῦν ὅλοι. Ὕστερα ἀπό ὅλα αὐτά ἔξαφνα θέλει γένει ἡ Παρουσία τοῦ Κυρίου, ὡσάν ἀστραπή ἀπό τόν Οὐρανόν· καί ὁ τίμιος αὐτοῦ Σταυρός θέλει προπορεύεσθαι, καί ποταμός πυρός βράζων θέλει τρέχει ἔμπροσθεν αὐτοῦ, καθαρίζων τήν γῆν, ἀπό τάς ἀκαθαρσίας καί τούς μολυσμούς τῶν ἀνομιῶν. Παρευθύς δέ ἔχει νά πιασθῇ ὁ Ἀντίχριστος, καί οἱ ἐδικοί του ὑπηρέται, καί θέλουν παραδοθῇ εἰς τό πῦρ τό αἰώνιον. Τότε θέλουν σαλπίσει οἱ Ἄγγελοι, καί ἐνταυτῷ ὅλον τό ἀνθρώπινον γένος, ἀπό τά τετραπέρατα τῆς οἰκουμένης, θέλει συναθροισθῇ εἰς τήν Ἱερουσαλήμ, ὅτι κατά τήν γνώμην τινῶν αὐτή εἶναι ἡ μέση τοῦ Κόσμου, καί ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν· ὅμως ὅλοι ἔχουν νά εὑρεθοῦν μέ τά ἴδιά των σώματα καί τάς ψυχάς, ὅλοι μετεστοιχειωμένοι εἰς ἀφθαρσίαν, καί ὅλοι θέλουν ἔχει μίαν μορφήν· καί αὐτά δέ τά στοιχεῖα θέλουν μεταβληθῇ εἰς καλλιτέραν κατάστασιν. Τότε μέ ἕνα λόγον ὁ Κύριος θέλει χωρήσει τούς δικαίους ἀπό τούς ἁμαρτωλούς, καί ὅσοι ἔπραξαν τά ἀγαθά, θέλουν ἀποφασισθῇ νά ὑπάγουν εἰς τήν αἰώνιον ζωήν.

Οἱ μέν ἁμαρτωλοί, ὡς ἐγώ, θέλουν κατακριθῇ εἰς τήν αἰώνιον βάσανον· καί καθώς βλέπομεν εἰς ἐκείνην τήν ἡμέραν, ὁ Κριτής δέν θέλει ζητήσει νηστείας, οὔτε σωματικάς κακοπαθείας, ὅτι καλά μέν εἶναι καί αὐτά, ἀλλά τά πολύ τούτων καλλίτερα ἐλεημοσύνην δηλαδή καί συμπάθειαν· καθώς φαίνεται λέγων εἰς τούς δικαίους

καί εἰς τούς ἁμαρτωλούς ἔξ τινάς ἀρετάς· ἐπείνασα καί ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καί ἐποτίσατέ με· ξένος ἤμην, καί συνηγάγετέ με· γυμνός καί περιεβάλετέ με· ἠσθένησα, καί ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καί ἤλθετε πρός με· ἐφ' ὅσον γάρ ἐποιήσατε ἑνί τούτων τῶν ἐλαχίστων, ἐμοί ἐποιήσατε· Τά ὁποῖα ταῦτα, κάθ' εἷς δύναται νά τά κάμῃ, κατά τήν ἰδίαν δύναμιν. Τότε λοιπόν πᾶσα γλῶσσα θέλει ὁμολογήσει, ὅτι Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Αἱ βάσανοι δέ ὁποῦ εὑρίσκονται εἰς τό Ἱερόν Εὐαγγέλιον, εἶναι αὗται· κλαυθμός καί βρυγμός τῶν ὀδόντων, σκώληξ μή τελευτῶν· πῦρ μή σβυνύμενον· σκότος ἐξώτερον. Τά ὁποῖα ὅλα ἡ Ἐκκλησία τοῦ Θεοῦ δεχομένη, ἤτοι οἱ θεῖοι Πατέρες, τρυφήν μέν καί Βασιλείαν Οὐρανῶν, στοχάζονται τήν μετά τοῦ Θεοῦ καί τῶν Ἁγίων συνδιαγωγήν, καί τήν ἔλλαμψιν τοῦ θείου φωτός, καί τήν παντοτινήν ἀνάβασιν. Βάσανον δέ καί σκότος, καί τά τοιαῦτα, τόν ἀπό τοῦ Θεοῦ χωρισμόν καί μακαρισμόν, καί τήν τῶν ψυχῶν διά τοῦ συνειδότος δαπάνην, ἐνθυμούμενοι, ὅτι ἀπό τήν ἀμέλειάν των, καί διά πρόσκαιρον τρυφήν, τῆς θεϊκῆς ἐλάμψεως ἐστερήθησαν. Τῇ ἀφάτῳ σου φιλανθρωπίᾳ Χριστέ ὁ Θεός, τῆς εὐκταίας σου φωνῆς ἡμᾶς καταξίωσον, καί τοῖς ἐκ δεξιῶν σου προβάτοις ἡμᾶς ἐλεήσας, ἀρίθμησον. Ἀμήν.



ΣΑΒΒΑΤΟΝ
ΤΩΝ ΟΣΙΩΝ ΠΑΤΕΡΩΝ

Τῇ αὐτῇ ἡμέρᾳ, μνείαν ἐπιτελοῦμεν πάντων τῶν ἐν ἀσκήσει λαμψάντων ἁγίων ἀνδρῶν τε καί γυναικῶν.

Α΄

Ἠρέμα διά τῶν προηγησαμένων ἡμᾶς ἑορτῶν οἱ θεοφόροι πατέρες παιδαγωγήσαντες καί ἑτοίμους παρασκευάσαντες εἰς τό στάδιον, καί τῆς τρυφῆς καί τοῦ κόρου ἀπαγαγόντες καί τῷ τῆς μελλούσης κρίσεως φόβῳ ἡμᾶς στοιχειώσαντες, διά τε τῆς Τυροφάγου ἑβδομάδος, ὡς χρεών, προκαθάραντες, δεξιῶς καί τάς δύο νηστείας ἐν μέσῳ ἔθεντο, ἵνα κατ᾽ ὀλίγον ἡμᾶς πρός αὐτήν ἐρεθίσωσιν, ἰδού καί τούς ὁσίως πάντας βεβιωκότας καί ἄλλως διά πόνων πολλῶν, ἄνδρας τε ὁμοῦ καί γυναῖκας εἰς μέσον προτίθενται, ὡς ἄν διά τῆς αὐτῶν μνείας καί τῶν παλαισμάτων εὐτονωτέρους ἡμᾶς ποιήσωσι πρός τό στάδιον, ἔχοντας τούς ἐκείνων βίους ὑπογραμμόν τινα καί ὁδηγόν, καί τήν ἐξ αὐτῶν συμμαχίαν καί ἀρωγήν ἐπισπώμενοι, πρός τούς πνευ-

ματικούς ἀγῶνας ἀποδυσώμεθα, ἀναλογιζόμενοι ὅτι καί αὐτοί τῆς αὐτῆς ἡμῖν φύσεως ἐκοινώνησαν.

Ὥσπερ γάρ οἱ στρατηγοί, τῶν στρατευμάτων παραταξαμένων καί ἤδη κατά μέτωπον ἱσταμένων, λόγοις καί παραδείγμασι καί ἀρχαίων μνήμαις ἀνδρῶν ἀρίστως στρατηγησάντων καί ἀνδρισαμένων τόν ἴδιον στρατόν ἐρεθίζουσι, κἀντεῦθεν ἐκεῖνοι νευρούμενοι τῇ τῆς νίκης ἐλπίδι ὁλοψύχως ἐπαποδύονται, οὕτω καί νῦν οἱ θεοφόροι πατέρες σοφῶς διαπράττονται· τό γάρ ἄρρεν καί θῆλυ διά τῶν ὁσίως βιωσάντων πρός τούς πνευματικούς ἀγῶνας νευρώσαντες, οὕτω πρός τό τῆς νηστείας προάγουσι στάδιον, ἵνα, ὡς πρός ἀρχέτυπον, οὐ φαῦλον, τόν ἐκείνων ἡμεῖς ἀφορῶντες βίον, τάς πολυειδεῖς καί διαφόρους ἐργαζώμεθα ἀρετάς, καθώς ἑκάστῳ δύναμις πρόσεστι· προηγουμένως μέν τήν ἀγάπην, καί τήν μετά νοός γινομένην ἀποχήν τῶν ἀσέμνων ἔργων καί πράξεων, καί τήν νηστείαν αὐτήν, οὐ τῶν βρωμάτων δηλαδή μόνον, ἀλλά καί τῆς γλώττης καί τοῦ θυμοῦ καί τῶν ὀφθαλμῶν, καί ἁπλῶς εἰπεῖν τήν παντός κακοῦ ἀργίαν καί ἀλλοτρίωσιν. Διά ταύτην οὖν τήν αἰτίαν οἱ ἅγιοι πατέρες τήν παροῦσαν τῶν ἁγίων πάντων μνήμην ἐνταῦθα κατέταξαν, τούς διά τῆς νηστείας καί ἄλλων καλῶν ἔργων καί χρηστῶν Θεῷ εὐηρεστηκότας προσάγοντες, παρωθοῦντες ἡμᾶς διά τῆς τούτων εἰκόνος πρός τό τῶν ἀρετῶν στάδιον, καί γενναίως κατά τῶν παθῶν καί δαιμόνων ὁπλίζεσθαι,

καί τινα τρόπον ὑποτιθέμενοι ὡς, εἰ καί ἡμεῖς τήν ἴσην αὐτοῖς σπουδήν προβαλλόμεθα, οὐδέν ἐμποδών ἐστι πρᾶξαι ὅσα καί αὐτοί διεπράξαντο καί τῶν αὐτῶν ἀξιωθῆναι γερῶν· τῆς αὐτῆς γάρ καί οὗτοι ἡμῖν ἐκοινώνησαν φύσεως.

Περί μέν τοι τῆς Τυροφάγου φασί τινες τόν βασιλέα Ἡράκλειον ταύτην ἐντάξαι, κρεοφάγον οὖσαν τό πρότερον. Κατά Χοσρόου γάρ καί Περσῶν ἐπί ἔξ ἔτεσιν ἐκστρατεύσας, ηὔξατο τῷ Θεῷ, εἰ κατ᾽ ἐκείνων ἰσχύσειε, ταύτην μεταμεῖψαι καί μεταξύ νηστείας καί τρυφῆς καταστῆσαι, ὅ καί ἐποίησεν. Ἐγώ δέ οἶμαι, καί τούτου συμβάντος ἴσως, τοῖς ἁγίοις ἐπινοηθῆναι καί ταύτην πατράσι διά προκάθαρσίν τινα, ὡς ἄν μή ἐκ κρεῶν καί ἀδηφαγίας αὐτίκα εἰς ἄκραν ἀσιτίαν ἀγόμενοι δυσχεραίνωμεν καί ἄλλως τήν σωματικήν ἕξιν βλαπτώμεθα, ἀλλ᾽ ἠρέμα καί κατά μικρόν τῶν λιπαινόντων καί ἡδυνόντων ἀφεστηκότες, καθάπερ ἵπποι δυσήνιοι διά τῆς ὑφειμένης βρώσεως καί τόν χαλινόν τῆς νηστείας ὑποδεξώμεθα. Ὡς γάρ ἐπί τήν ψυχήν διά τῶν παραβολῶν ἐποίησαν, οὕτω δή καί ἐπί τό σῶμα ἐμηχανεύσαντο, τά πρός τήν νηστείαν ἐμπόδια κατά βραχύ περιτέμνοντες.

Β΄

Εἰς τό Σάββατον τοῦτο, ὁποῦ εἶναι πρό τῆς ἐξορίας τοῦ Ἀδάμ ἐπιτελοῦμεν τήν μνήμην, ὅλων τῶν Ἀνδρῶν τε καί Γυναικῶν, ὁποῦ ἔλαμψαν κατά καιρούς εἰς τήν ἄσκησιν· διότι, οἱ Θεοφόροι Πατέρες, ἀφ' οὗ κατ' ὀλίγον, τρόπον τινά μᾶς ἐπαιδαγώγησαν, μέ τάς προλαβούσας ἑορτάς, καί ἑτοίμους μᾶς κατέστησαν πρός τό τῆς νηστείας στάδιον, καί ἀπό τήν τρυφήν καί τόν κόρον, μᾶς ἀπεμάκρυναν, καί μέ τόν φόβον τῆς μελούσης κρίσεως μᾶς περιέφραξαν, καί διά τῆς Τυροφάγου Ἑβδομάδος, μετρίως τρόπον τινά μᾶς ἐκαθάρισαν, τέλος πάντων, διά νά μᾶς παρακινήσουν πρός αὐτήν, ἰδού μᾶς προβάλλουσι καί τούς Ὁσίους Πατέρας, τόσον ἄνδρας, ὅσον καί γυναῖκας, οἱ ὁποῖοι ἐπέρασαν τήν ζωήν των, μέ ὑπερβολικούς πόνους καί κόπους τῆς ἀσκήσεως, διά νά μᾶς κάμουν προθυμοτέρους, καί ἀνδρικωτέρους εἰς τό στάδιον, μέ τό νά ἔχωμεν τούς βίους αὐτῶν καί τά παλαίσματα τρόπον τινά τύπον καί ὁδηγόν, καί μέ τό νά στοχαζώμεθα, ὅτι καί ἐκεῖνοι ἄνθρωποι ἦσαν, καθώς καί ἡμεῖς, καί ὅμως μέ τό νά ἠγωνίσθησαν τόσον πολύ, ἔγιναν τόσον ὀνομαστοί, καί εἰς ὅλον τόν Κόσμον περίφημοι· ὅτι καθώς οἱ στρατηγοί τοῦ Κόσμου, ὅταν παραταχθῶσι πρός ἄλληλα τά στρατεύματα, καί στέκωσι κατά μέτωπον, δημηγοροῦσι καθ' εἷς πρός τούς ἐδικούς του στρατιῶτας, καί φέρουσιν εἰς τό μέσον παλαιά παραδείγματα, καί τούς

ἐνθυμίζουσι τούς παλαιούς ἐκείνους, ὁποῦ εἰς τούς πολέμους ἐστάθησαν ἄνδρες ἄριστοι, καί ἀνδρείαν ἔδειξαν ἡρωϊκήν κατά τῶν ἐναντίων, καί μέ τοῦτον τόν τρόπον ἐρεθίζουσιν εἰς τήν παροῦσαν μάχην τόν ἐδικόν των στρατόν, καί ἐκεῖνοι ἐκ τούτων νευρούμενοι μέ τήν ἐλπίδα τῆς νίκης, ὁλοψύχως εἰσβάλλουσιν εἰς τόν πόλεμον· οὕτω καί οἱ Θεοφόροι Πατέρες σοφῶς διαπράττονται, καί ἄνδρας καί γυναῖκας, μέ τό παράδειγμα τῶν Ὁσίων Πατέρων, ἐμψυχώσαντες, πρός τό στάδιον τῶν πνευματικῶν ἀγώνων διεγείρουσι, διά νά ἀποβλέπωμεν ἡμεῖς εἰς τήν ζωήν ἐκείνων τῶν Μακαρίων Πατέρων, ὡσάν εἰς πρωτότυπον ἐξαίρετον, καί οὕτω νά πράττωμεν τάς διαφόρους ἀρετάς, καθώς δύναται ἕκαστος, κυρίως μέν καί καθ' αὐτό τήν ἀγάπην, καί τήν ἀποχήν τῶν ἀσέμνων ἔργων, καί πράξεων καί τήν νηστείαν αὐτήν, ὄχι μόνον τῶν φαγητῶν, ἀλλά καί τῆς γλώσσης, καί τοῦ θυμοῦ, καί τῶν ὀφθαλμῶν, καί ἁπλῶς εἰπεῖν, παντός κακοῦ, τήν παῦσιν καί ἀποξένωσιν. Διά ταύτην τήν αἰτίαν, οἱ Ἅγιοι Πατέρες ἔταξαν ἐνταῦθα τήν μνήμην τῶν Ὁσίων Πατέρων, διδάσκοντες ἡμᾶς διά τούτων, ὅτι ἀνίσως καί ἡμεῖς δείξωμεν τήν ἰδίαν σπουδήν καί ἐπιμέλειαν, τίποτε ἐμπόδιον δέν εἶναι νά κατορθώσωμεν καί ἡμεῖς, ὅσα ἐκεῖνοι κατόρθωσαν, καί νά ἀξιωθῶμεν τῶν αὐτῶν τιμῶν καί βραβείων· ὅτι, καθώς καί ἀνωτέρω εἴπομεν, καί ἡ ἀλήθεια οὕτως ἔχει, ἄνθρωποι εἴμεθα καί ἡμεῖς. Λέγουσι δέ

τινες περί τῆς Τυροφάγου, ὅτι Ἡράκλειος ὁ Βασιλεύς, τήν ἔκαμε Τυροφάγον, τρόπον τινά μεσονηστείαν, ἡ ὁποία πρότερον ἦτον Κρεωφάγος· ὅτι πόλεμον εἶχε κατά τῶν Περσῶν, χρόνους κατά σειράν ἕξ, καί ἔταξεν εἰς τόν Θεόν, ἄν τούς νικήσῃ, νά ἀλλάξῃ τήν ἑβδομάδα, καί νά τήν καταστήσῃ, μεταξύ νηστείας καί τρυφῆς· τό ὁποῖον καί ἐτελείωσε, νικητής γενόμενος. Πλήν καί τοῦτο ὁποῦ οὕτως ἠκολούθησεν εἰς τήν ἀρχήν, οἱ Ἅγιοι Πατέρες τήν μετεχειρίσθησαν, ὡς προκαθάρσιμον, διά νά μή δυσχεραίνωμεν, περνῶντες ἀπό τήν Κρεωφαγίαν, καί ἀδηφαγίαν, ἀμέσως εἰς τήν ἄκραν ἀσιτίαν, ἀπό τό ὁποῖον ἴσως δύναται νά ἀκολουθῇ καί βλάβη εἰς τήν ὑγιείαν· ἀλλά κατ' ὀλίγον νά συνηθίζωμεν τῆς νηστείας τό τραχύ καί ὑπόπικρον, ὅτι καθώς ἔκαμαν εἰς τά τῆς ψυχῆς διά τῶν παραβολῶν, οὕτω καί εἰς τό σῶμα ἐμεθοδεύθησαν, καί κατ' ὀλίγον περιέκοψαν τῆς νηστείας τά ἐμπόδια. Ταῖς τῶν Ὁσίων σου πάντων πρεσβείαις, Χριστέ ὁ Θεός ἐλέησον ἡμᾶς. Ἀμήν.



ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΙΝΗΣ

(ΤΗΣ ΕΞΟΔΟΥ ΕΚ ΤΟΥ ΠΑΡΑΔΕΙΣΟΥ)

Τῇ αὐτῇ ἡμέρᾳ ἀνάμνησιν ποιούμεθα τῆς ἀπό τοῦ παραδείσου τῆς τρυφῆς ἐξορίας τοῦ πρωτοπλάστου Ἀδάμ.

Α΄

Τήν ἀνάμνησιν ταύτην οἱ ἅγιοι πατέρες ἡμῶν πρό τῆς ἁγίας ἐνέταξαν Τεσσαρακοστῆς, ὡσανεί αὐτοῖς δεικνύοντες πράγμασιν, ὅσον τό τῆς νηστείας φάρμακον τῇ ἀνθρωπίνῃ φύσει ὠφέλιμον, καί ὅσον πάλιν τό ἀπό τῆς ἀδηφαγίας καί ἀνηκοΐας αἰσχρόν. Παραλείψαντες οὖν οἱ πατέρες τά κατά μέρος ἐν κόσμῳ διά τοῦτον γινόμενα ἄπειρα ὄντα, τόν πρωτόπλαστον Ἀδάμ προτιθέασιν, ὅσον κακόν πέπονθεν ἐκ τοῦ μή πρός ὀλίγον νηστεῦσαι, κἀντεῦθεν καί τῇ ἡμῶν ἐπεισήγαγε φύσει, σαφῶς προδεικνύοντες, καί ὅτι πρῶτον ἐν ἀνθρώποις Θεοῦ παράγγελμα τό τῆς νηστείας καλόν· ὅ μή φυλάξας ἐκεῖνος, ἀλλά τῇ γαστρί εἴξας, μᾶλλον δέ τῷ πλάνῳ ὄφει διά τῆς Εὔας, οὐ μόνον Θεός οὐ γέγονεν, ἀλλά καί τόν θάνατον ἐπεσπάσατο, καί τῆς λύμης τῷ παντί γένει μετέδωκε. Διά γοῦν τήν τοῦ πρώτου Ἀδάμ τρυφήν ὁ

Κύριος ἡμέρας νενήστευκε τεσσαράκοντα καί ὑπήκοος γέγονεν· οὐ χάριν καί ἡ παροῦσα ἁγία Τεσσαρακοστή τοῖς ἁγίοις ἀποστόλοις ἐπενοήθη, ἵνα, ὅ μή φυλάξας ἐκεῖνος πέπονθεν, ἀπολέσας τήν ἀφθαρσίαν, φυλάξαντες ἡμεῖς, ἀπολαύσωμεν διά τῆς νηστείας. Ἄλλως τε, καθώς καί προέφημεν, ὁ σκοπός τῶν ἁγίων οὗτός ἐστιν· ἵνα τά ἀπ' ἀρχῆς μέχρι τέλους ἔργα γενόμενα τῷ Θεῷ ἐν βραχεῖ περιλήψωνται. Ἐπεί δέ πάντων τῶν καθ' ἡμᾶς αἴτιον ἡ παράβασις καί ἡ ἐκ τῆς τρυφῆς ἔκπτωσις τοῦ Ἀδάμ, κατά τοῦτον τόν λόγον ταύτην νῦν προτιθέασι, μνήμην ἡμῶν ποιουμένων ἐκείνης, ἵνα φύγωμεν αὐτήν καί οὐχί τήν ἀκρασίαν ἐν παντί ζηλώσωμεν.

Τῇ ἕκτῃ μέν οὖν ἡμέρᾳ ὁ Ἀδάμ ἐπλάσθη χειρί Θεοῦ, τιμηθείς καί εἰκόνι διά τοῦ ἐμφυσήματος, καί λαβών τήν ἐντολήν αὐτίκα, ἄχρι καί ἕξ ὡρῶν τῷ παραδείσῳ διέτριψεν· εἶτα παραβάς ταύτην ἐκεῖθεν ἐξώσθη. Ὁ μέν τοι Ἑβραῖος Φίλων ἑκατόν φησι χρόνους τόν Ἀδάμ ἐν τῷ παραδείσῳ πεποιηκέναι· ἄλλοι δέ ἑπτά ἡμέρας ἤ χρόνους φασί διά τήν τοῦ ἑπτά τιμήν. Ὅτι δέ τῇ ἕκτῃ ὥρᾳ τάς χεῖρας ἥπλωσε καί τοῦ καρποῦ ἥψατο, ἐδήλωσε καί ὁ νέος Ἀδάμ, ὁ Χριστός, τῇ ἕκτῃ ὥρᾳ καί ἡμέρᾳ τάς παλάμας ἁπλώσας ἐν σταυρῷ, τόν ἐκείνου ἰώμενος ὄλεθρον. Μέσον δέ φθορᾶς καί ἀφθαρσίας δεδημιούργηται, ἵν' ὁποτέρωσε νεύσῃ τῇ προαιρέσει, ἐκεῖνο δή καί προσκτήσαιτο. Ἦν μέν γάρ δυνατόν Θεῷ καί ἀναμάρτητον ποιῆσαι· ἀλλ' ἵνα εἴη καί τῆς αὐτοῦ προαιρέσεως

τό κατόρθωμα, διά τοῦτο τόν νόμον δίδωσι πάντων μέν ἅπτεσθαι τῶν φυτῶν, τοῦ δέ μή· ἴσως τήν ἐκ πάντων κτισμάτων τῆς θείας δυνάμεως γινομένην ἐπίγνωσιν ἐννοεῖν, τήν δέ περί τῆς φύσεως τοῦ Θεοῦ οὐδαμῶς. Ὅ δή καί ὁ Θεολόγος Γρηγόριος, ἐννοίας θείας τά ξύλα φιλοσοφῶν εἶναι καί τό φυτόν θεωρίαν· ἤγουν ἐπέτρεψε, φησίν, ὁ Θεός τῷ Ἀδάμ περί πάντων μέν τῶν ἄλλων στοιχείων καί ποιοτήτων ἑτέρων μεριμνᾶν καί ἀναπολεῖσθαι τῷ νῷ καί δοξάζειν Θεόν ἐντεῦθεν· αὕτη γάρ ἡ ὄντως τρυφή· ἴσως δέ καί περί τῆς ἑαυτοῦ φύσεως. Περί μέν τοι Θεοῦ, τίς τε τήν φύσιν καί ποῦ καί πῶς τό πᾶν ἐκ τοῦ μή ὄντος παρήγαγε, μηδόλως ζητεῖν. Ὁ δέ, τά ἄλλα μέν ἀφείς, τά περί Θεοῦ μᾶλλον ἐρευνῶν ἦν καί τήν ἐκείνου φύσιν ἀκριβῶς περιεργαζόμενος· ὡς οὖν ἔτι ἀτελής ὤν καί ἁπλούστατος καί νήπιος ἐν τοῖς τοιούτοις, ἐξέπεσε, τοῦ σατάν διά τῆς Εὔας φαντασίας αὐτῷ ἐμβεβληκότος θεώσεως. Ὁ δέ μέγας καί θεῖος Χρυσόστομος διπλῆν τινα δύναμιν τό ξύλον ἐκεῖνο ἔχειν φησί, καί ἐν γῇ λέγει τόν παράδεισον εἶναι, καί νοητόν αὐτόν καί αἰσθητόν φιλοσοφεῖ, καθάπερ ἦν Ἀδάμ, καί ἀμφότερα, καί φθορᾶς καί ἀφθαρσίας ἐν μεταιχμίῳ, ὁμοῦ καί τήν γραφήν διασῴζων καί οὐδέ πάλιν ἐπιμένων τῷ γράμματι.

Λέγουσι δέ τινες τό ξύλον ἐκεῖνο τῆς παρακοῆς εἶναι συκῆν· ὅτι γνόντες αὐτίκα τήν γύμνωσιν, τοῖς φύλλοις ἐκείνης χρησάμενοι ἐσκεπάσθησαν· διά τοῦτο καί ὁ Χριστός, ὡς αἰτίαν γενομένην ταύτην τῆς παραβάσεως,

κατηράσατο. Ἔχει γάρ τινα καί πρός τήν ἁμαρτίαν ἐμφέρειαν· πρῶτον μέν τό γλυκάζον· εἶτα τό ἀπό τῶν φύλλων τραχύ καί τό κολλῶδες διά τοῦ γάλακτος. Εἰσί δέ οἵ καί τό ξύλον ἐκεῖνο τήν μετά τῆς Εὔας τοῦ Ἀδάμ ὁμιλίαν καί γνῶσιν ἐπενόησαν, οὐ καλῶς.

Παραβάς οὖν καί τήν θνητήν ἐνδυσάμενος σάρκα καί τήν κατάρα λαβών, ἐξώσθη τοῦ παραδείσου, καί φλογίνη ῥομφαία τούτου τήν πύλην προσετάχθη φυλάττειν· ὁ δέ ἀπέναντι καθήμενος ἔκλαιεν, ὅσων ἀγαθῶν ἐστέρηται διά τό μή πρός καιρόν νηστεῦσαι, καί τό ἐξ ἐκείνου σύμπαν γένος τῶν ἴσων ἐκείνῳ μετέσχεν, ἕως οὗ ὁ πλάσας ἡμᾶς, τήν ἡμετέραν ἐλεήσας φύσιν, αὐτῷ λυμαινομένῳ τῷ σατανᾷ, ἐκ Παρθένου γεννηθείς ἁγίας καί ἀρίστως πολιτευσάμενος, τήν ὁδόν τε ἡμῖν ὑποδείξας διά τῶν ἐναντίων ἐκείνῳ, νηστείας δηλαδή καί ταπεινώσεως, καί νικήσας τεχνηέντως τόν ἡμᾶς ἀπατήσαντα, πάλιν εἰς τό ἀρχαῖον ἀξίωμα ἤγαγε.

Πάντα οὖν ταῦτα οἱ θεοφόροι πατέρες παραστῆσαι
78 βουλόμενοι διά τοῦ Τριῳδίου παντός, πρῶτα μέν τά τῆς παλαιᾶς προτιθέασιν· ὧν πρῶτον ἡ δημιουργία καί ἡ ἐκ τῆς τρυφῆς ἔκπτωσις τοῦ Ἀδάμ, ἧς ἀρτίως τήν μνήμην ποιούμεθα· εἶτα καί τῶν λοιπῶν διά τῶν Μωσαϊκῶν καί προφητικῶν καί πλέον τῶν Δαβιτικῶν λόγων, καί τινα τέως τῶν τῆς χάριτος ἐπιβαλόντες. Εἶτα κατά τάξιν καί τά τῆς νέας Διαθήκης· ὧν πρῶτός ἐστιν ὁ Εὐαγγελισμός, οἰκονομίᾳ Θεοῦ ἀῤῥήτῳ ἐν τῇ ἁγίᾳ Τεσ-

σαρακοστῇ σχεδόν ἀεί εὑρισκόμενος· διά τε Λαζάρου καί τῶν Βαΐων καί τῆς ἁγίας καί μεγάλης Ἑβδομάδος, τῶν ἱερῶν ἀναγινωσκομένων Εὐαγγελίων, αὐτῶν τε τῶν ἁγίων καί σωτηριωδῶν παθῶν τοῦ Χριστοῦ κατά λεπτόν ὑμνουμένων· εἶτα καί τῆς ἀναστάσεως καί τῶν λοιπῶν μέχρι τῆς καθόδου τοῦ Πνεύματος, τῶν ἱερῶν Πράξεων διαγορευουσῶν, ὅπως τό κήρυγμα γέγονε καί τούς ἁγίους πάντας συνήγαγεν· αἱ γάρ Πράξεις τήν ἀνάστασιν βεβαιοῦσι διά τά θαύματα. Ἐπεί οὖν διά τό μή ἅπαξ τόν Ἀδάμ νηστεῦσαι τοσαῦτα πεπόνθαμεν, προτίθεται νῦν ἡ τούτου ἀνάμνησις εἰς τήν εἴσοδον τῆς ἁγίας Τεσσαρακοστῆς, ἵνα, μεμνημένοι ὅσον κακόν τό μή νηστεῦσαι ἐπήγαγε, σπουδάσωμεν τήν νηστείαν περιχαρῶς ὑποδέξασθαι καί παραφυλάττειν, ὡς ἄν, οὗ ἠστόχησεν ὁ Ἀδάμ, τῆς θεώσεως δηλαδή, ἡμεῖς δι' αὐτῆς ἐπιτύχωμεν, ὀδυρόμενοι καί νηστεύοντες καί ταπεινούμενοι, ἕως οὗ ὁ Θεός ἡμᾶς ἐπισκέψηται· τούτων γάρ ἄνευ οὐ ῥᾴδιον λαβεῖν ὅ ἀπωλέσαμεν.

Ἰστέον δέ ὡς ἀποδεκατισμός ἐστιν αὕτη ἡ ἁγία καί μεγάλη Τεσσαρακοστή τοῦ ὅλου ἐνιαυτοῦ· ἐπειδή γάρ ἀπό ῥαθυμίας ἀεί νηστεύειν καί τῶν κακῶν ἀργεῖν οὐχ αἱρούμεθα, ὥς τι θέρος ψυχῶν ταύτην οἱ ἀπόστολοι καί οἱ θεῖοι πατέρες παρέδωκαν· ὡς ἄν, ὅσα διά τοῦ ἐνιαυτοῦ ὅλου ἄτοπα διεπραξάμεθα, νῦν συντριβόμενοι καί διά νηστείας ταπεινούμενοι, ἀπαλείψωμεν, ἥν καί φυλάττειν ὀφείλομεν ἀκριβέστερον. Ἀλλά δή καί τάς λοι-

πάς τρεῖς, τήν τῶν ἁγίων, φημί, ἀποστόλων, τήν τῆς Θεοτόκου καί τοῦ Τεσσαρακονθημέρου· πρός γάρ τάς τέσσαρας τοῦ χρόνου ὥρας καί τάς τεσσαρακοστάς οἱ θεῖοι πατέρες δεδώκασι, ταύτην πλέον τιμήσαντες διά τά ἅγια Πάθη, καί ὅτι ὁ Χριστός ταύτην ἐνήστευσε καί ἐδοξάσθη· καί Μωϋσῆς τεσσαράκοντα ἡμέρας νηστεύσας τόν νόμον ἔλαβε, καί Ἠλίας αὐτός καί Δανιήλ καί ὅσοι δόκιμοι παρά τῷ Θεῷ. Ὅτι δέ καλόν ἡ νηστεία, δείκνυσιν ἐκ τοῦ ἐναντίου ὁ Ἀδάμ. Διά ταύτην οὖν τήν αἰτίαν ἡ τοῦ Ἀδάμ ἐνταῦθα ἐξορία τοῖς ἁγίοις πατράσιν ἐπενοήθη.

Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστέ ὁ Θεός ἡμῶν, τῆς τρυφῆς τοῦ παραδείσου ἡμᾶς καταξίωσον καί ἐλέησον ὡς μόνος φιλάνθρωπος. Ἀμήν.

Β΄

Οἱ Θειότατοι καί Ἅγιοι Πατέρες ἐθέσπισαν νά κάμνωμεν σήμερον, ἤτοι πρό τῆς Ἁγίας Τεσσαρακοστῆς, τήν ἀνάμνησιν τῆς ἐξορίας τῶν πρωτοπλάστων ἀπό τήν τρυφήν τοῦ παραδείσου, τρόπον τινά δεικνύοντες ἐμπράκτως, πόσον καλόν καί ὠφέλιμον πρᾶγμα εἶναι ἡ νηστεία εἰς τήν ἀνθρωπίνην φύσιν, καί πάλιν ἐκ τοῦ ἐναντίου, πόσον κακόν καί αἰσχρόν εἶναι ἡ ἀδηφαγία. Παρατρέξαντες λοιπόν οἱ Πατέρες, τά κατά μέρος

πάντα, ὁποῦ εἰς ὅλον τόν κόσμον γίνονται, ἄπειρα σχεδόν ὄντα, τόν πρωτόπλαστον Ἀδάμ προβάλλουσιν εἰς ὅλους παράδειγμα πόσον κακόν ἔπαθε, μέ τό νά μήν ἐνήστευσε πρός ὀλίγον, καί εἰς τήν ἐδικήν μας φύσιν μετέδωκε, σαφῶς δεικνύοντες, καί ὅτι πρῶτον παράγγελμα τοῦ Θεοῦ πρός τούς ἀνθρώπους ἐδόθη τό τῆς νηστείας καλόν, τό ὁποῖον μέ τό νά μήν ἐφύλαξεν ἐκεῖνος, ἀλλά τῇ γαστρί ὑπήκουσε, τό δέ ἀληθέστερον εἰς τόν πλάνον ὄφιν, ἀπό τήν παρακίνησιν τῆς Εὔας, ὄχι μόνον Θεός δέν ἔγινεν, ἀλλά καί εἰς τόν θάνατον κατεκρίθη. Καί εἰς ὅλον τό γένος μετέδωκε τοῦ κακοῦ. Λοιπόν διά τήν τρυφήν τοῦ πρωτοπλάστου Ἀδάμ, ὁ Κύριος ἐνήστευσεν ἡμέρας τεσσαράκοντα, καί ὑπήκοος ἔγινεν. Διά τοῦτο καί ἡ παροῦσα Ἁγία Τεσσαρακοστή παρεδόθη ἀπό τούς Ἁγίους Ἀποστόλους, διά νά ἀπολαύσωμεν ἡμεῖς διά τῆς νηστείας, τήν ἀφθαρσίαν, μέ τό νά φυλάξωμεν ἡμεῖς ἐκεῖνο, τό ὁποῖον μέ τό νά μήν ἐφύλαξεν ἐκεῖνος, ἀπώλεσε τήν ἀφθαρσίαν· καί κατά ἄλλον τρόπον ὁ σκοπός τῶν Ἁγίων οὗτός ἐστι, καθώς καί προείπομεν, νά περιλάβωσι διά βραχέων, τά ἀπ' ἀρχῆς μέχρι τέλους γενόμενα ἔργα παρά τοῦ Θεοῦ· καί ἐπειδή ὅλων τῶν καθ' ἡμᾶς, αἴτιον ἐστάθη ἡ παράβασις, καί ἡ ἔκπτωσις τοῦ Ἀδάμ ἀπό τόν παράδεισον, διά τοῦτο ταύτην ἐνταῦθα πρωτίστην ἔταξαν, διά νά φύγωμεν τήν παρακοήν, καί νά μή μιμηθῶμεν κατ' οὐδέν τήν ἀκρασίαν αὐτοῦ.

Τῇ ἕκτῃ ἡμέρᾳ λοιπόν, ἐπλάσθη ὁ Ἀδάμ ἀπό τήν χεῖρα τοῦ Θεοῦ, τόν ὁποῖον καί μέ τήν ἰδίαν του εἰκόνα ἐτίμησε, μέ τό ἐμφύσημα ὁποῦ ἔκαμεν εἰς αὐτόν, διδούς αὐτῷ ἐν ταὐτῷ καί τήν ἐντολήν, ποίους καρπούς νά τρώγῃ, καί ποίους νά μή τρώγῃ. Ἐστάθη δέ μέσα εἰς τόν παράδεισον, κατά τήν γνώμην τινῶν Διδασκάλων, ἕως ἓξ ὥρας· εἶτα ἐξώσθη ἐκεῖθεν, μέ τό νά παρέβη τήν ἐντολήν. Ὁ δέ Φίλων ὁ Ἑβραῖος λέγει, ὅτι ἑκατόν χρόνους ἔκαμεν εἰς τόν παράδεισον· ἄλλοι δέ λέγουσιν, ἑπτά ἡμέρας, ἤ χρόνους, καί τοῦτο λέγουσι, διά τήν τιμήν τοῦ ἑπταδικοῦ ἀριθμοῦ, ὁποῦ κοντά εἰς τούς Ἑβραίους, κατ' ἐξαίρετον ἦτον τίμιος. Ὅτι δέ, εἰς τήν ἕκτην ὥραν τάς χεῖρας ἥπλωσε, καί τόν καρπόν ἐτρύγησεν, ἐφανέρωσε τοῦτο καί ὁ νέος Ἀδάμ ὁ Χριστός, ὅς τις θεραπεύων τοῦ πρωτοπλάστου τό τόλμημα, εἰς τήν ἕκτην ὥραν καί ἡμέραν τάς παλάμας ἥπλωσεν ἐν τῷ Σταυρῷ. Μέσον δέ φθορᾶς καί ἀφθαρσίας ἐπλάσθη ὁ Ἀδάμ, μέ σκοπόν, ὅτι ἐκεῖνο νά ἀποκτήσῃ, εἰς ὅποιον ἀπό τῶν δύω ἤθελε κλίνει μέ τήν ἐδικήν του προαίρεσιν, ὡσάν ὁποῦ κατεσκευάσθη αὐτεξούσιος· ὅτι δυνατόν ἦτον εἰς τόν Θεόν καί ἀναμάρτητον νά τόν κάμῃ, ἀλλά διά νά γένῃ καί τῆς ἐδικῆς του προαιρέσεως τό κατόρθωμα, διά τοῦτο τῷ ἔδωκε τόν νόμον, ὅς τις τόν ἐπρόσταζεν, ἀπό ὅλα μέν τά φυτά νά πέρνῃ καρπούς, καί νά τρώγῃ, καί ἀπό ἕν μόνον νά ἀπέχῃ. Ἐκεῖνος δέ τῇ γυναικί πεισθείς, ἤ νά εἰπῶ καλλίτερα τῇ

ψυχοφθόρῳ συμβουλῇ τοῦ ἀρχεκάκου ὄφεως, ἀφίνων ὅλα τά ἄλλα, εἰς τό θεόθεν ἐμποδισμένον,ἥπλωσε τό παράνομον χέρι του. Ποίου δέ εἴδους φυτά ἦσαν ἐκεῖνα τά συγκεχωρημένα, καί ποίου εἴδους φυτόν ἦτον ἐκεῖνο τό ἐμποδισμένον, πολλοί πολλά λέγουσι, τά ὁποῖα μέ τό νά ἦναι νοήματα ὑψηλά, καί θεωρίαι μεγάλαι, δέν καταλαμβάνονται ἀπό τούς ἀγραμμάτους καί ἁπλουστέρους. Τό δέ ξύλον, ὁποῦ ἐμπόδισεν ὁ Θεός, ξύλον τοῦ γινώσκειν καλόν καί πονηρόν, τό ὠνόμασεν, ἀπό τῆς ἐκβάσεως, ἤγουν ἀπό τό ἰδίωμα, ὁποῦ ἔχει ἡ ἁμαρτία, εὐθύς ὁποῦ ἐμβῇ εἰς πρᾶξιν· ἤγουν εὐθύς ὁποῦ τελεσθῇ ἡ ἁμαρτία ἐγείρεται, ἤτοι ἐξυπνᾷ ἡ συνείδησις, ὁ πικρός καί ἀδυσώπητος κατήγορος, λέγουσα μέσα εἰς τήν ψυχήν πρός τόν ἁμαρτήσαντα, κακά ἔπραξας, ἄξιος εἶσαι κολάσεως, καί βλέπε ζωντανόν τό παράδειγμα εἰς τούς πρωτοπλάστους· αὐτοί καί πρότερον, ἤγουν πρό τῆς παρακοῆς ἦσαν γυμνοί, καί ὅμως οὐκ ᾐσχύνοντο· ἔπειτα ὅταν παρέβησαν τήν ἐντολήν, τότε ἐνόησαν, πώς ἦσαν γυμνοί. Ὅθεν κατέλαβον πόσον καλόν εἶναι ἡ ὑπακοή, καί ἐκ τοῦ ἐναντίου πόσον κακόν ἡ παρακοή. Διά τοῦτο καί εὐθύς ἐφρόντισαν νά σκεπάσουν τήν γύμνωσίν των, καί ἀκούσαντες τόν πρός αὐτούς ἐρχομόν τοῦ Θεοῦ, ἐφοβήθησαν, καί ἐκρύβησαν. Τινές δέ εἶπον τό ξύλον ἐκεῖνο τῆς παρακοῆς, ἦτον συκῆ· ὅτι μέ τά φύλλα ἐκείνης ἐσκεπάσθησαν, εὐθύς ὁποῦ κατέλαβον τήν γύμνωσίν των· καί τάχα διά τοῦτο καί ὁ Χριστός,


ὡς αἰτίαν γενομένην τῆς παραβάσεως, τήν κατηράσθη, καί ἐξηράνθη. Ὅτι καί κάποιαν ὁμοιότητα ἔχει μέ τήν ἁμαρτίαν· πρῶτον μέν τό γλυκύ, ἔπειτα τό ἀπό τῶν φύλλων τραχύ, καί τό κολλῶδες τοῦ γάλακτος. Λοιπόν, ἀφ' οὗ παρέβη τήν ἐντολήν, καί τήν θνητήν σάρκα ἐφόρεσε, καί τήν κατάραν ἔλαβε τῆς πολυοδύνου ζωῆς, ἐδιώχθη ἀπό τόν παράδεισον, καί φλογίνη ῥομφαία διωρίσθη παρά Θεοῦ νά φυλάττῃ τήν πύλην τοῦ παραδείσου, καί αὐτός ἐκάθισεν ἀπ' ἀντικρύ τοῦ παραδείσου, κλαίων καί ὀδυρόμενος, διά τά τόσα ἀγαθά ὁποῦ ἐστερήθη, μέ τό νά μήν ἠθέλησε νά φυλάττῃ τήν ἐντολήν τοῦ Δεσπότου, καί νά νηστεύσῃ μικράν νηστείαν. Καί οὕτως ὅλον τό σύμπαν γένος, ὑπέκειτο εἰς τήν ἐκείνου ἀρᾶν καί ἀθλιότητα, ἕως ὁποῦ πάλιν ὁ πλάσας ἡμᾶς Θεός, ἠλέησε τήν ἡμετέραν φύσιν, καί εἰς τό ἀρχαῖον ἀπεκατέστησε ἀξίωμα, νικήσας τεχνιέντως, τόν ἡμᾶς ἀπατήσανα, τοῦτ' ἔστι διά νηστείας καί ταπεινώσεως, τύπος γενόμενος εἰς ἡμᾶς, πῶς νά νικῶμεν καί ἡμεῖς τόν ἀντίπαλον. Ὅλα λοιπόν αὐτά θέλοντες νά παραστήσουν οἱ θεοφόροι Πατέρες, δι' ὅλου τοῦ Τριῳδίου, πρῶτον βαίνουσι τά τῆς Παλαιᾶς Διαθήκης, ἀπό τά ὁποῖα, πρώτη εἶναι ἡ Δημιουργία, καί ἡ τοῦ Ἀδάμ ἀπό τόν παράδεισον ἔξωσις, τῆς ὁποίας τήν ἀνάμνησιν κάμνομεν σήμερον. Εἶτα καί τά λοιπά προβάλλουσιν, ἤγουν τά Μωσαϊκά, ἤτοι τῆς Γενέσεως, καί τῶν λοιπῶν, τά Προφητικά, καί περισσότερον τούς Δαβιτικούς λό-

γους· καί τέλος ἐπιφέρουσι καί τινα τῶν τῆς χάριτος, ἤτοι τῆς Νέας Διαθήκης. Ἀπό τά ὁποῖα πρῶτος εἶναι ὁ Εὐαγγελισμός, ὁ ὁποῖος κατά ἄῤῥητον Θεοῦ οἰκονομίαν, σχεδόν πάντοτε, μέσα εἰς τήν Ἁγίαν Τεσσαρακοστήν εὑρίσκεται. Προχωρεῖ δέ τό Τριῴδιον, ἔτι διά τοῦ Λαζάρου, καί τῶν Βαΐων, καί τῆς Ἁγίας καί μεγάλης ἑβδομάδος καί αὐτῶν τῶν Ἁγίων καί σωτηριωδῶν Παθῶν τοῦ Χριστοῦ, ὁποῦ τά Ἱερά Εὐαγγέλια ἀναγινώσκονται, καί κατά λεπτόν τά θεῖα Πάθη ὑμνολογοῦνται. Εἶτα καί διά τῆς Ἀναστάσεως, καί τῶν λοιπῶν ἑορτῶν, μέχρι τῆς Ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, καί τέλος διά τῶν Ἱερῶν Πράξεων τῶν Ἀποστόλων, αἵτινες τρανῶς διηγοῦνται, πῶς τό κήρυγμα ἔγινε, καί ὅτι οἱ θεῖοι Ἀπόστολοι τούς Ἁγίους πάντας συνήγαγον· ὅτι αἱ Πράξεις τῶν Ἀποστόλων βεβαιοῦσι τήν Ἀνάστασιν διά τῶν θαυμάτων, ὁποῦ ἔπραττον οἱ Ἀπόστολοι, ἐν τῷ ὀνόματι τοῦ σταυρωθέντος Ἰησοῦ. Ἐπειδή λοιπόν, μέ τό νά μήν ἐνήστευσε μίαν φοράν ὁ Ἀδάμ, ἐπάθομεν τά τόσα κακά, διά τοῦτο, πρό τῆς Ἁγίας Τεσσαρακοστῆς, ἐτάχθη ὑπό τῶν Πατέρων ἡ ἀνάμνησις αὐτοῦ, διά νά συλλογιζώμεθα πόσον κακόν ἔφερεν εἰς τόν Κόσμον, μέ τό νά μήν ἐνήστευσεν ὁ Ἀδάμ, καί νά σπουδάσωμεν μετά χαρᾶς, νά δεχθῶμεν ἡμεῖς τήν νηστείαν, καί καλῶς νά τήν φυλάττωμεν, διά νά ἐπιτύχωμεν ἡμεῖς, ἐκεῖνο ὁποῦ ἔχασεν ἐκεῖνος, δηλαδή τήν θέωσιν, πενθοῦντες, καί νηστεύοντες, καί ταπεινούμενοι, ἕως νά

μᾶς ἐπισκεφθῇ ὁ Κύριος· διότι κατ' ἄλλον τρόπον, σχεδόν ἀδύνατον εἶναι νά λάβωμεν ἐκεῖνο ὁποῦ ἐχάσαμεν. Πρέπει δέ νά ἠξεύρωμεν, ὅτι ἡ Ἁγία καί μεγάλη Τεσσαρακοστή τοῦ ὅλου χρόνου, εἶναι ὡσάν εἷς ἀποδεκατισμός· διότι, ἐπειδή ἀπό τήν ἀμέλειάν μας δέν προαιρούμεθα, οὔτε πάντοτε νηστεύομεν, οὔτε ἀπέχομεν ἀπό κακάς πράξεις, διά τοῦτο οἱ θεῖοι Ἀπόστολοι, καί ὕστερον ἀπό αὐτούς καί οἱ Ἅγιοι Πατέρες, παρέδωκαν εἰς ἡμᾶς, αὐτήν τήν Ἁγίαν Τεσσαρακοστήν, ὡσάν ἕν θέρος ψυχῶν, διά νά ἐξαλείψωμεν, διά μετανοίας καί συντριβῆς, ὅσα κακά ἐπράξαμεν ὅλον τόν χρόνον, καί διά τοῦτο, ἤγουν, ἐπειδή μέ τοιοῦτον σκοπόν καί τέλος, μᾶς τήν παρέδωκαν οἱ θεῖοι Ἀπόστολοι, πρέπει καί νά τήν φυλάττωμεν ἀκριβέστερον ἀπό κάθε ἄλλην νηστείαν. Ἐπειδή καί τάς ἄλλας τρεῖς, ἤγουν τήν τῶν Ἁγίων Ἀποστόλων, τήν τῆς Θεοτόκου, καί τοῦ Σαρανταημέρου, ἡ Ἐκκλησία μᾶς τάς παραδίδει, καί χρέος ἔχομεν νά τάς φυλάττωμεν. Ὅμως αὐτή εἶναι πολύ τιμιωτέρα καί θειοτέρα, πρῶτον, διότι ὁ Χριστός, ὁ ἀρχηγός τῆς ἡμετέρας σωτηρίας, ὑπέρ ἡμῶν ἐνήστευσεν αὐτήν, καί τόν πειράζοντα νικήσας ἐδοξάσθη· δεύτερον, καί διά τά Ἅγια Πάθη, τά ὁποῖα εἰς τό τέλος λαμπρῶς καί θεοπρεπῶς ἑορτάζομεν. Ἀλλά καί ὁ Μωϋσῆς τεσσαράκοντα ἡμερονύκτια νηστεύσας, τόν νόμον ἔλαβε· καί ὁ προφήτης Ἠλίας, ἄλλας τόσας νηστεύσας, ἐν τῷ ὄρει τῷ Χωρήβ, ἰδεῖν ἠξιώθη τόν

Θεόν, ὡς ἀνθρώπῳ δυνατόν· καί ὁ Δανιήλ ὡσαύτως, καί ἄλλοι πάμπολλοι, ὅσοι παρά τῷ Θεῷ ἐφάνησαν δόκιμοι, διά νηστείας αὐτῷ εὐηρέστησαν. Διά ταύτην λοιπόν τήν αἰτίαν, ἐτέθη ἐνταῦθα ὑπό τῶν Πατέρων, ἡ ἐξορία τοῦ Ἀδάμ, διδάσκουσα ὅλους ἡμᾶς νά φυλάττωμεν τόν ὅρον τῆς νηστείας, ὅσον δυνάμεθα. Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ Χριστέ ὁ Θεός ἡμῶν, τῆς τρυφῆς τοῦ Παραδείσου ἡμᾶς καταξίωσον, καί ἐλέησον, ὡς μόνος φιλάνθρωπος. Ἀμήν.







ΣΑΒΒΑΤΟΝ
Α΄ ΕΒΔΟΜΑΔΟΣ ΝΗΣΤΕΙΩΝ

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν, τό διά τῶν κολλύβων παράδοξον θαῦμα τοῦ ἁγίου καί ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος ἑορτάζομεν.

Α΄

Ἰουλιανοῦ τοῦ παραβάτου μετά Κωνστάντιον, τόν τοῦ μεγάλου Κωνσταντίνου υἱόν, τά σκῆπτρα τῆς βασιλείας κρατήσαντος, καί ἀπό Χριστοῦ εἰς εἰδωλολατρίαν μεταθεμένου, διωγμός κατά Χριστιανῶν ἐγείρεται μέγιστος, ἐμφανῶς τε ἅμα καί ἀφανῶς. Ἀπειπών οὖν ὁ δυσσεβής τοῦ κολάζειν ὠμῶς, ὁμοῦ δέ καί ἀναφανδόν ἀπανθρώπως, οὕτω πειράζει Χριστιανούς, αἰσχυνόμενός τε καί ὑπειδόμενος, ἵνα μή προστίθωνται πλείονες, κεκρυμμένως πως μιᾶναι τούτους ὁ δόλιος καί ἀνόσιος ἐβουλεύσατο. Ὅθεν καί τηρήσας, ὡς τό ἡμέτερον ἔθνος Χριστοῦ κατά τήν πρώτην τῶν ἁγίων νηστειῶν ἑβδομάδα μᾶλλον ἁγνίζεται καί προσανέχει Θεῷ, τόν ἔπαρχον τῆς πόλεως μετακαλεσάμενος, κελεύει τά πιπρασκόμενα συνήθη ὠνια ἐκ τοῦ μέσου

ἀπαγαγεῖν, ἕτερα δέ ὤνια προθεῖναι τῇ ἀγορᾷ, ἄρτους δηλονότι καί πόματα, τοῖς ἐκ τῶν θυσιῶν αὐτοῦ αἵμασι ταῦτα πρότερον ἀναμίξαντα καί ἐν τῷ φυράματι ἐκμιάναντα, ὡς ἄν, ἀπό νηστείας ταῦτα ὠνούμενοι, μᾶλλον ἐν τῇ καθάρσει μιαίνοιντο. Αὐτίκα τοίνυν ὁ ἔπαρχος εἰς ἔργον ἄγει τό προσταχθέν, καί προτίθησι τά ἐκ τῶν θυσιῶν καί ἀλισγημάτων μεμιασμένα βρωτά καί ποτά ἐν πάσῃ τῇ ἀγορᾷ.

Ἀλλ' ὁ πάντα ὁρῶν τοῦ Θεοῦ ὀφθαλμός καί δρασσόμενος τούς σοφούς ἐν τῇ πανουργίᾳ αὐτῶν, καί ἡμῶν τῶν δούλων αὐτοῦ ἀεί προμηθούμενος, καί τάς μυσαράς τοῦ παραβάτου καθ' ἡμῶν ἐπινοίας διέλυσε· τῷ γάρ τῆς πόλεως ἀρχιερεῖ Εὐδοξίῳ, οὐκ ὀρθῶς καί ταῦτα τό σέβας τυγχάνοντι, ἐπιπέμπει τόν μέγαν αὐτοῦ ἀθλοφόρον Θεόδωρον, τόν ἀπό τοῦ Τηρωνικοῦ τάγματος Τήρωνα ἐπονομαζόμενον. Καί δῆτα ὕπαρ, οὐκ ὄναρ, αὐτῷ ἐπιστάς, οὐτωσίπως φησίν· Ὅσον τάχος διεγερθείς, τό τοῦ Χριστοῦ συνάγαγε ποίμνιον καί κέλευσον ἀσφαλῶς μηδένα μηδέν τι τῶν ἐν τῇ ἀγορᾷ προβεβλημένων ὠνήσασθαι· θυσιῶν γάρ αἵμασι ταῦτα παρά τοῦ ἀσεβεστάτου βασιλέως μεμίανται. Τοῦ δέ διαπορουμένου καί διερωτῶντος· Καί πῶς ἄν ῥᾴδιον εἴη τοῦτο τοῖς μή εὐπόρως οἴκοθεν ἔχουσι, μή ἀπό τῶν τῇ ἀγορᾷ προβεβλημένων ὠνήσασθαι; ὁ ἅγιος, Κόλλυβα χορηγήσας, φησίν, αὐτοῖς τήν ἔνδειαν παραμύθησαι. Τοῦ δέ διαπορουμένου καί ἀγνοοῦντος καί

τί ἄν εἴη ταῦτα διαπυνθανομένου τά κόλλυβα, ὁ μέγας Θεόδωρος φησί· Τόν ἐψητόν σῖτον· οὕτω γάρ ἡμῖν ἐν Εὐχαΐτοις λέγειν εἰώθαμεν. Ἐξακριβούμενος δέ ὁ πατριάρχης τίς ἄν εἴη οὗτος ὁ τοῦ Χριστωνύμου λαοῦ προμηθούμενος, ὁ ἅγιος αὖθις, Τοῦ Χριστοῦ μάρτυς Θεοδώρητος, ἔφη, ὁ παρ᾽ αὐτοῦ βοηθός ὑμῖν ἀρτίως ἀποσταλείς.

Διεγερθείς οὖν εὐθέως ὁ πατριάρχης καί τῷ πλήθει ἀναγγείλας τά ὁραθέντα καί οὕτω διαπραξάμενος, τό τοῦ Χριστοῦ ποίμνιον ἀλύμαντον τῆς τοῦ ἐχθροῦ καί παραβάτου διετήρησεν ἐπινοίας. Ὁ δέ, τήν αὐτοῦ ἐνέδραν ἐπιδών ἐλεγχθεῖσαν καί τό μηδέν ἀνύσασαν καί ἱκανῶς αἰσχυνθείς, προβληθῆναι καί πάλιν τά συνήθη τῇ ἀγορᾷ προσέταξεν ὤνια. Ὁ μέν τοι τοῦ Χριστοῦ λαός, τῆς ἑβδομάδος ἤδη ἐπιτελεσθείσης, τήν εὐχαριστίαν ἀποτιννύντες τῷ εὐεργέτῃ καί μάρτυρι, κατά τόδε τό Σάββατον διά κολλύβων τήν αὐτοῦ μνήμην γεγηθότες ἐποίησαν. Ἔκτοτε οὖν οἱ πιστοί μέχρι καί τῆς δεῦρο τό θαῦμα ἀνανεούμενοι, ἵνα μή ἐξίτηλον τό τοσοῦτον ἔργον τοῦ μάρτυρος τῷ χρόνῳ γένηται, τόν μέγαν Θεόδωρον διά κολλύβων γεραίρομεν. 91

Τοῦτον δέ τόν μέγαν Θεόδωρον ὁ δυσσεβής Βρίγγας ἐπί Μαξιμίνου ἐμαρτύρησεν, αἰκισθέντα πρότερον, εἶτα τόν νεών τῆς ἐκείνων θεᾶς ἐμπρήσαντα καί τοῖς πένησι τόν κόσμον αὐτῆς διαμερισάμενον· τινῶν δέ καί εἰς λόγους αὐτῷ ἐλθόντων καί μεταθέσθαι βουλομένων

αὐτόν καί συμβουλευόντων, οὔκουν ἠνέσχετο. Πολλά τοίνυν παθών, ὕστερον, καμίνου ἀναφθείσης μεγάλης, κατ᾽ αὐτῆς ἀκοντίζεται· μήτε δ᾽ ἐξ ἐκείνης παθών, ἐν μέσῳ ταύτης τῷ Θεῷ τό πνεῦμα παρέθετο.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Β΄

(Τό ἀντίστοιχο κείμενο λείπει).



ΚΥΡΙΑΚΗ Α΄ ΕΒΔΟΜΑΔΟΣ ΝΗΣΤΕΙΩΝ

(ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ πρώτῃ τῶν νηστειῶν, ἀνάμνησιν ποιούμεθα τῆς ἀναστηλώσεως τῶν ἁγίων καί σεπτῶν εἰκόνων, γενομένης παρά τῶν ἀειμνήστων αὐτοκρατόρων Κωνσταντινουπόλεως Μιχαήλ καί τῆς μητρός αὐτοῦ Θεοδώρας, ἐπί τῆς πατριαρχίας τοῦ ἁγίου καί ὁμολογητοῦ Μεθοδίου.

Α΄

Λέοντος τοῦ Ἰσαύρου ἐξ ὀνηλασίας καί τοῦ χειρωνακτικοῦ βίου τά σκῆπτρα τῆς βασιλείας κρατήσαντος κατά Θεοῦ παραχώρησιν, ὁ ἐν ἁγίοις Γερμανός, τηνικαῦτα τῶν οἰάκων τῆς Ἐκκλησίας ἐπειλημμένος, εὐθύς μεταστέλλεται παρ' ἐκείνου καί ἀκούει· Ὡς ἐμοί δοκεῖ, δέσποτα, τάς ἁγίας εἰκόνας μηδέν τι διαφέρειν εἰδώλων· κέλευε οὖν ὅ,τι τάχος ἐκ μέσου ταύτας ἀπαγαγεῖν· εἰ δέ ἀληθεῖς εἰσι τῶν ἁγίων αἱ μορφαί, ἀλλ' εἰς τό μετέωρον ἀναρτάσθωσαν, ἵνα μή ταύτας, ἁμαρτίαις ἐγκυλινδούμενοι πάντοτε, μολύνωμεν ἀσπαζόμενοι. Ὁ δέ πατριάρχης τοῦ τοιούτου μύσους τόν βασιλέα ἀπέτρεπε. Μή σύ γε, λέγων, ὦ βασιλεῦ· λυττῆσαι

μέν γάρ τινά ποτε κατά τῶν ἁγίων εἰκόνων ἀκούομεν, Κόνωνα δέ εἶναι αὐτῷ τό ἐπώνυμον. Ὁ δέ, Ἀλλ' ἐγώ, φησίν, ἔτι νήπιος ὤν, ἐκαλούμην. Μή πειθομένου τοίνυν συνθέσθαι τόν πατριάρχην, ὑπερόριον τίθησι καί τόν ὁμόφρονα τούτου ἀντικαθίστησιν Ἀναστάσιον· καί οὕτω τηνικαῦτα τήν κατά τῶν ἁγίων εἰκόνων μάχην παῤῥησιάζεται. Λέγεται δέ Ἑβραίους πρῶτα τό τοιοῦτον μύσος αὐτῷ ὑποθεῖναι, ἔκ τινος μαγγανείας προειπόντας τήν εἰς τήν βασιλείαν ἀναγωγήν, ἡνίκα, πένης ὤν, μετ' αὐτῶν διά τῆς ὀνηλασίας τό ζῆν διεπραγματεύετο. Ἐκείνου δέ τό ζῆν κακῶς ἀποῤῥήξαντος, ὁ ἐξ ἐκείνου ὠμότερος σκύμνος, ὁ κοπρώνυμος Κωνσταντῖνος, τῆς ἀρχῆς καί πλέον τῆς κατά τῶν ἁγίων εἰκόνων λύττης διάδοχος γίνεται. Καί τί χρή λέγειν ὅσα καί οἷα καί οὗτος ὁ παράνομος διεπράξατο; Πλήν ἀλλά κἀκείνου αἰσχρότερον τελευτήσαντος, ὁ ἐκ τῆς Χαζάρας υἱός ἐκείνου εἰς τήν βασιλείαν καθίσταται. Ἐπεί δέ καί αὐτός τό ζῆν κακῶς ἐξεμέτρησεν, Εἰρήνη καί Κωνσταντῖνος τῆς ἀρχῆς κληρονόμοι γίνονται. Οὗτοι, ὑπό Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου καθοδηγούμενοι, τήν ἑβδόμην Σύνοδον συγκροτοῦσι, καί τάς ἁγίας εἰκόνας πάλιν ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἀπολαμβάνει. Τούτων δέ τήν βασιλείαν ἀποθεμένων, ὁ ἀπό γενικοῦ Νικηφόρος ἀνάγεται, εἶτα Σταυράκιος ὁ υἱός, μεθ' ὅν Μιχαήλ ὁ Ῥαγκαβέ, τάς θείας εἰκόνας σεβόμενοι.

Τόν Μιχαήλ ὁ θηριώδης Λέων ὁ Ἀρμένιος διαδέχεται· ὅς, ὑπό μοναχοῦ τινος ἐγκλείστου καί δυσσεβοῦς δόλῳ διαφθαρείς, τήν δευτέραν εἰκονομαχίαν ἐγείρει, καί πάλιν ἄκοσμος ἡ τοῦ Θεοῦ Ἐκκλησία γνωρίζεται. Τοῦτον ὁ Ἀμοραῖος διαδέχεται Μιχαήλ· τόν δέ πάλιν Θεόφιλος ὁ υἱός, τῆς κατά εἰκόνων μανίας τούς λοιπούς ἐν δευτέρῳ θέμενος. Οὗτος οὖν ὁ Θεόφιλος, πολλούς τῶν ἁγίων πατέρων ποιναῖς καί κολάσεσιν ἀλλοκότοις ἐκδεδωκώς, ὑπέρ εἰκόνων δηλαδή τῶν σεπτῶν, δικαιοσύνης τε ὡς ἐπί μᾶλλον ἀντεποιεῖτο, ὡς ζητήσαντα ποτέ, εἴ τίς ἐστιν ἐν τῇ πόλει δι' ὄχλου ἑτέρῳ γινόμενος, μηδένα ἐπί πολλαῖς, ὡς φασί, ταῖς ἡμέραις εὑρεῖν. Ἐπεί δέ, δυωκαίδεκα αὐταρκήσας ἐνιαυτούς καί δυσεντερίας νόσῳ κατασχεθείς, διαῤῥήσεσθαι τῆς ζωῆς ἔμελλε, τό στόμα αὐτοῦ λίαν ἀνέῳγεν, ὡς καί αὐτά τά ἔγκατα ἔνδοθεν διαφαίνεσθαι. Ἡ δ' αὐγούστα Θεοδώρα, περιαλγής τῷ συμβεβηκότι γενομένη, μόλις πρός ὕπνον τρέπεται καί ὄναρ ὁρᾷ τήν ἄχραντον Θεοτόκον, βρέφος ἐνηγκαλισμένην τό προαιώνιον, ὑπό λαμπρῶν περιστοιχιζομένην ἀγγέλων, Θεόφιλον δέ τόν ταύτης εὐνέτην ὑπ' αὐτῶν μαστιζόμενον καί ὀνειδιζόμενον. Ὡς οὖν ἀνῆκε ταύτην ὁ ὕπνος, καί Θεόφιλος μικρόν ἀπαναγαγών ἐξεβόησεν· Οὐαί μοι τῷ ἀθλίῳ! διά τάς ἁγίας εἰκόνας μαστίζομαι. Αὐτίκα τίθησιν ἐπάνω αὐτοῦ τήν τῆς Θεοτόκου εἰκόνα ἡ βασιλίς, δεομένη ταύτης σύν δάκρυσιν. Ὅ γε μήν Θεόφιλος, καίπερ οὕτως ἔχων,

ἰδών τινα τῶν περιεστώτων ἐγκόλπιον φέροντα, δραξάμενος αὐτοῦ κατησπάζετο· καί αὐτίκα τό κατά τῶν εἰκόνων φρυάξαν στόμα καί ὁ ἀναίδην κεχηνώς λάρυγξ εἰς τήν προτέραν ἕξιν μετεσκευάζετο, καί τῆς συνεχούσης ἀνάγκης καί βίας ἐπαύσατο καί ὕπνωσε, καλόν εἶναι ὁμολογήσας τό τάς ἁγίας εἰκόνας τιμᾶσθαί τε καί σεβάζεσθαι. Ἐξενέγκασα τοίνυν ἡ βασιλίς ἐκ τῶν αὐτῆς κιβωτίων τάς σεπτάς καί ἁγίας εἰκόνας, ἀσπάζεσθαι καί ὅλῃ ψυχῇ τιμᾶν τόν Θεόφιλον παρεσκεύασε. Μετά μικρόν οὖν ἐκλείπει τό ζῆν ὁ Θεόφιλος. Ἡ δέ Θεοδώρα τούς ἐν ὑπερορίᾳ καί φυλακαῖς πάντας ἀνακαλεσαμένη ἐν ἀδείᾳ διάγειν ἐκέλευσε. Καί κατασπᾶται μέν τοῦ πατριαρχικοῦ θρόνου Ἰωάννης, ὁ καί Ἰαννῆς, ὁ μαντιάρχης καί δαιμονιάρχης μᾶλλον ἤ πατριάρχης. Ὁ δέ τοῦ Χριστοῦ ὁμολογητής Μεθόδιος ἄνεισι τοῦτον, πολλά παθών πρότερον καί ἐν τάφῳ ζῶν καθειρχθείς.

Τούτων δέ οὕτως ἐχόντων, ἐπίσκεψίς τις γίνεται θεία Ἰωαννικίῳ τῷ μεγάλῳ, ἐν τοῖς τοῦ Ὀλύμπου ὄρεσιν ἀσκουμένῳ· ὁ γάρ μέγας ἀσκητής Ἀρσαάκιος γενόμενος πρός αὐτόν, Ὁ Θεός με πρός σέ ἀπέστειλε, λέγει, ὡς ἄν πρός τόν ὁσιώτατον ἄνδρα Ἡσαΐαν τόν ἔγκλειστον ἐν Νικομηδείᾳ ἐλθόντες, παρ' αὐτοῦ μάθωμεν ὅσα φίλα Θεῷ καί ἁρμόζοντα τῇ αὐτοῦ Ἐκκλησίᾳ. Καί δή, πρός τόν ὁσιώτατον Ἡσαΐαν γενόμενοι, ἀκούουσι παρ' αὐτοῦ· Τάδε λέγει Κύριος· Ἰδού ἤγγικε τό τέλος τῶν ἐχθρῶν τοῦ ἐμοῦ ἐκτυπώματος· ὑμεῖς οὖν πρός

τήν βασίλισσαν Θεοδώραν, ἀλλά δή καί πρός τόν πατριάρχην γεγονότες Μεθόδιον, λέξατε οὕτω· Παῦσον πάντας τούς ἀνιέρους, καί οὕτω σύν ἀγγέλοις θυσίαν μοι προσενέγκοις, μορφῆς ἐμῆς τήν εἰκόνα καί τοῦ Σταυροῦ σεβαζόμενος. Ταῦτα ἀκούσαντες, τήν Κωνσταντίνου εὐθέως καταλαμβάνουσι καί τά εἰρημένα Μεθοδίῳ τῷ πατριάρχῃ καί τοῖς ἐκλεκτοῖς ἅπασι τοῦ Θεοῦ καταγγέλουσιν. Οἱ δ' ἀθροισθέντες πρός τήν βασίλισσαν παραγίνονται καί καταπειθῆ ταύτην ἐν πᾶσιν εὑρίσκουσιν· ἐκ πατέρων γάρ ἦν εὐσεβής καί φιλόθεος. Αὐτίκα τοίνυν ἡ βασιλίς, τήν τῆς Θεοτόκου εἰκόνα τοῦ τραχήλου ἀπῃωρημένην ἐξενεγκοῦσα, πάντων ὁρώντων, ἠσπάζετο λέγουσα· Εἴ τις ταύτας οὐ προσκυνεῖ καί ἀσπάζεται σχετικῶς, οὐ λατρευτικῶς, οὐχ ὡς θεούς, ἀλλ' ὡς εἰκόνας τῶν ἀρχετύπων, διά τόν πόθον, εἴη τό ἀνάθεμα. Οἱ δέ μεγάλην χαράν ἐχάρησαν.

Ἀνταιτεῖται δέ καί αὕτη αὐτούς, ὡς ἄν δέησιν ὑπέρ τοῦ ἀνδρός αὐτῆς Θεοφίλου ποιήσωσιν. Οἱ δέ, τήν πίστιν αὐτῆς ἰδόντες, καί περ ἀπαναινόμενοι, πείθονται δ' ὅμως. Καί δή ὁ ἐν ἁγίοις Μεθόδιος, τόν λαόν πάντα συναγαγών καί τόν κλῆρον ἅπαντα καί τούς ἀρχιερεῖς ἐν τῇ μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἐκεῖσε παραγίνεται, ἐν οἷς ἦσαν καί οἱ λογάδες οὗτοι οἱ ἐξ Ὀλύμπου, ὁ μέγας Ἰωαννίκιος καί Ἀρσαάκιος, Ναυκράτιός τε καί οἱ μαθηταί Θεοδώρου τοῦ Στουδίτου καί ὁ τοῦ Μεγάλου Ἀγροῦ Θεοφάνης καί Θεόδωρος οἱ γραπτοί καί ὁμολο-

γηταί, Μιχαήλ ὁ ἁγιοπολίτης καί σύγκελλος καί ἄλλοι πλεῖστοι, δέησιν ὁλονύκτιον ὑπέρ Θεοφίλου ποιοῦνται πρός τόν Θεόν, πάντων εὐχομένων μετά δακρύων καί συντόνου δεήσεως· καί τοῦτο δι' ὅλης τῆς πρώτης ἑβδομάδος ἐπετελεῖτο τῶν νηστειῶν, καί αὐτῆς τῆς βασιλίσσης Θεοδώρας τά αὐτά ταῦτα μετά γυναίων καί τοῦ λοιποῦ διαπραττομένης λαοῦ.

Τούτων δέ οὕτως ἐχόντων, Θεοδώρα ἡ βασιλίς περί ὄρθρον αὐγάζοντα τῆς Παρασκευῆς εἰς ὕπνον τραπεῖσα, ἔδοξεν εὑρεθῆναι παρά τόν κίονα τοῦ Σταυροῦ, καί τινας μετά θορύβου διερχομένους τήν ὁδόν παριέναι, διάφορα κολαστηρίων ὄργανα περιφέροντας· μέσον δέ αὐτῶν ἀγόμενον δέσμιον καί τόν βασιλέα Θεόφιλον, ὄπισθεν παρηγκωνισμένον τάς χεῖρας· τοῦτον δέ γνωρίσασα, συνείπετο καί αὐτή τοῖς ἀπάγουσιν. Ἐπεί δέ ἄχρι τῆς Χαλκῆς πύλης ἔφθασαν, εἶδεν ὑπερφυῆ τήν ὄψιν ἄνδρα τινά, καθήμενον ἔμπροσθεν τῆς εἰκόνος τοῦ Χριστοῦ· οὗ κατέναντι τόν Θεόφιλον ἔστησαν. Τούτου δέ τῶν ποδῶν ἁψαμένη ἡ βασιλίς, ὑπέρ τοῦ βασιλέως ἱκέτευεν. Ὁ δέ, μόλις ἀνοίξας τό στόμα, Μεγάλη σου ἡ πίστις, γύναι, φησί· γίνωσκε οὖν ὡς διά τά δάκρυά σου καί τήν πίστιν, ἔτι δέ καί διά τήν παράκλησιν καί ἱκεσίαν τῶν δούλων μου καί τῶν ἱερέων μου, συγγνώμην δίδωμι Θεοφίλῳ τῷ ἀνδρί σου. Εἶτα λέγει καί τοῖς ἀνδράσι· Λύσατε αὐτόν καί παράδοτε τῇ γυναικί αὐτοῦ. Ἡ δέ τοῦτον λαβοῦσα ὑπεχώρησεν ἀγαλλιω-

μένη καί χαίρουσα· καί αὐτίκα ὁ ὕπνος ταύτην ἀνίησι. Καί ταῦτα μέν Θεοδώρα ἡ βασιλίς ἐθεάσατο.

Ὁ δέ πατριάρχης Μεθόδιος, τῶν εὐχῶν καί δεήσεων ὑπέρ αὐτοῦ γινομένων, χάρτην καινόν λαβών, ἔγραψεν ἐν αὐτῷ πάντων τῶν αἱρετικῶν βασιλέων τά ὀνόματα, ἐντάξας καί αὐτοῦ τοῦ Θεοφίλου, καί ὑποκάτω τῆς ἁγίας Τραπέζης λαβών ἅπαντα ἔθετο. Περί δέ τήν Παρασκευήν ὁρᾷ καί αὐτός ἄγγελόν τινα φοβερόν τόν μέγαν εἰσιόντα νεών· καί πρός αὐτόν γενόμενον φάναι λέγεται· Εἰσηκούσθη ἡ δέησίς σου, ἐπίσκοπε, καί συγγνώμης ἔτυχεν ὁ βασιλεύς Θεόφιλος· μηκέτι οὖν περί αὐτοῦ διενόχλει τό Θεῖον. Ὁ δέ πειρώμενος εἰ ἀληθές τό ὁρώμενον, τῆς στάσεως ὑποβάς καί τόν χάρτην λαβών καί ἀνελιξάμενος, εὗρεν, ὦ Θεοῦ κριμάτων! ἀπαλληλιμμένον θεόθεν παντάπασι τό τοῦ Θεοφίλου ὄνομα.

Τοῦτο μαθοῦσα ἡ βασιλίς, ὑπερήσθη λίαν καί τῷ πατριάρχῃ διαμηνύεται πάντα τόν λαόν συναθροῖσαι μετά τῶν τιμίων Σταυρῶν καί τῶν ἁγίων εἰκόνων ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, ὡς ἄν ὁ κόσμος τῶν ἁγίων εἰκόνων ταύτῃ ἀποδοθείη καί τό καινόν τεράστιν ἅπασι γνωρισθείῃ. Καί δή, πάντων μικροῦ δεῖν ἐν τῇ Ἐκκλησίᾳ συναθροισθέντων μετά κηρῶν, καί ἡ βασιλίς σύν τῷ Υἱῷ παραγίνεται, καί λιτῆς ἐκεῖθεν γενομένης μετά τῶν ἁγίων εἰκόνων καί τῶν θείων καί σεβασμίων τοῦ Σταυροῦ ξύλων καί τοῦ ἱεροῦ καί θείου Εὐαγγελίου, ἄχρι τοῦ λεγομένου Μιλίου ἐξῆλθον, τό Κύριε ἐλέησον

ἀνακράζοντες. Καί οὕτω πάλιν ἀναστραφέντες ἐν τῇ Ἐκκλησίᾳ, τήν θείαν Λειτουργίαν ἐπετέλεσαν, ἀναστηλωθεισῶν τῶν ἁγίων καί σεβασμίων εἰκόνων παρά τῶν διειλημμένων ἁγίων ἀνδρῶν, ἀνακηρυχθέντων μέν τῶν εὐσεβούντων καί ὀρθῶς δοξαζόντων, τῶν δέ ἐναντίων ἀσεβούντων καί μή τήν τῶν ἁγίων εἰκόνων τιμήν ἀποδεχομένων ἀποκηρυχθέντων καί παραδοθέντων τῷ ἀναθέματι. Καί ἔκτοτε ὥρισαν οὗτοι οἱ ἅγιοι ὁμολογηταί ἐτήσιον οὕτω ταύτην τήν ἱεράν πανήγυριν γίνεσθαι, ἵνα μήποτε καί αὖθις τῇ αὐτῇ δυσσεβείᾳ ἐμπέσωμεν.

Ἡ ἀπαράλλακτος εἰκών τοῦ Πατρός πρεσβείαις τῶν ἁγίων σου ὁμολογητῶν ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Εἰς ταύτην τήν πρώτην Κυριακήν τῶν Νηστειῶν, ἡ Ἁγία Ἐκκλησία τοῦ Χριστοῦ πανταχοῦ ἑορτάζει τήν Ὀρθοδοξίαν, ἤγουν τῶν Ἁγίων καί σεπτῶν Εἰκόνων, τήν ἀποκατάστασιν εἰς τούς τόπους, ὁποῦ ἦσαν ἐξ ἀρχῆς· τήν ὁποίαν ἔκαμαν, Θεοδώρα, ἡ Ἁγία καί Μακαριωτάτη Βασίλισσα, καί Μιχαήλ ὁ υἱός αὐτῆς, διά παρακινήσεως τοῦ ἐν Ἁγίοις Μεθοδίου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Ὁμολογητοῦ, καί ἄλλων Ὁσίων καί Θεοφόρων Ἀνδρῶν. Ἡ δέ ἀναστήλωσις

αὕτη, διά νά ἀναδράμωμεν εἰς τήν πρώτην της ἀρχήν, συνέβη δέ οὕτω· Λέων ὁ Ἴσαυρος, ἀπό ἐκεῖ ὁποῦ ἦτον ὀνηλάτης, καί χωρικός ἄνθρωπος, θεία παραχωρήσει Βασιλεύς γενόμενος, στέλλει καί κράζει τόν Ἅγιον Γερμανόν, ὁποῦ τότε ἀνέβη εἰς τόν Πατριαρχικόν θρόνον, καί τῷ λέγει, καθώς ἐγώ νομίζω Δέσποτα, αἱ Ἅγιαι Εἰκόνες, τίποτε δέν διαφέρουσιν ἀπό εἴδωλα· πρόσταξαι λοιπόν, τό ὀγλιγορώτερον νά τάς ἐκβάλουν ἀπό τό μέσον· εἰ δέ εἶναι ἀληθιναί τῶν Ἁγίων αἱ μορφαί, ἄς κρεμασθοῦν ὑψηλά, διά νά μή τάς μολύνωμεν μέ τά ἁμαρτωλά χείλη μας. Ὁ δέ Πατριάρχης αἴφνης τοιούτους λόγους ἀκούσας, ἐταράχθη μεγάλως, καί ἤρχισε νά τόν ἐμποδίζῃ, ἀπό τοιοῦτον μιαρώτατον ἔργον, λέγων, μή γένοιτο, ὦ Βασιλεῦ, νά πράξῃς ἐσύ, τοιοῦτον ἔργον ἀνόσιον. Ἀκούομεν γάρ, πώς κάποιος Κόνων τήν ἐπωνυμίαν, ἔχει νά λυσσάξῃ κατά τῶν Ἁγίων Εἰκόνων· ἀλλ᾽ ἐγώ, ἐκεῖνος ἀπεκρίθη, ὢν μικρόν παιδίον, τοῦτο εἶχον τό ὄνομα. Λοιπόν, ἐπειδή ὁ Πατριάρχης δέν ἐπείθετο εἰς τήν ἀσεβῆ γνώμην του, τόν ἔστειλεν εἰς ἐξορίαν, καί εἰς τόν τόπον ἐκείνου, κατέστησε τόν ὁμόφρονά του Ἀναστάσιον· καί οὕτως ἐπαῤῥησίασε τόν κατά τῶν Ἁγίων Εἰκόνων πόλεμον. Λέγουσι δέ, ὅτι Ἑβραῖοι πρῶτον συνεβούλευσαν αὐτῷ τό τοιοῦτον κακόν, οἱ ὁποῖοι ἀπό κάποιαν μαγικήν κακοτεχνίαν, προεῖπον εἰς αὐτόν, ὅτι μέλλει νά βασιλεύσῃ, καί τοῦ ἐζήτησαν ὡς ἀντιμισθίαν τῆς χαροποιᾶς

των προῤῥήσεως, τήν τῶν Εἰκόνων καθαίρεσιν· τήν ὁποίαν καί ὑπέσχετο, καί εἰς πρᾶξιν ἔβαλεν ὁ παμμίαρος τήν ὑπόσχεσιν. Ἀφοῦ δέ ἐκεῖνος κακῶς τό ζῆν ἀπέῤῥηξεν, ὁ ὠμότερος ἐκείνου υἱός, ὁ Κοπρώνυμος Κωνσταντῖνος, ἔγινε διάδοχος, ὄχι μόνον τῆς Βασιλείας, ἀλλά πολύ περισσότερον, τῆς κατά τῶν Ἁγίων Εἰκόνων μανίας· καί τίς δύναται νά διηγηθῇ ἀξίως, ὁπόσα καί ὁποῖα κακά οὗτος ὁ παράνομος διεπράξατο; Πλήν ἀλλά καί ἐκείνου πλέον χειρότερα τελευτήσαντος, ὁ υἱός αὐτοῦ ὁ ἐκ τῆς Χαζάρας, τήν Βασιλείαν διεδέξατο. Ἐπειδή καί αὐτός τό ζῆν κακῶς ἐξεμέτρησεν, Εἰρήνη μήτηρ, καί Κωνσταντῖνος ὁ υἱός της, τῆς Βασιλείας κληρονόμοι γίνονται. Οὗτοι λοιπόν, παρακεκινημένοι ἀπό τόν Ἁγιώτατον Ταράσιον τόν Πατριάρχην, συνήθροισαν τήν Ἁγίαν ἑβδόμην Σύνοδον, καί τάς Ἁγίας Εἰκόνας πάλιν ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἀπολαμβάνει, μέ τό νά ἀπεδείχθη καί ἐκυρώθη, διά πολλῶν, ὅτι ἀρχαιοτάτη ἦτον, ἐξ αὐτῶν τῶν Ἁγίων Ἀποστόλων ἡ προσκύνησις τῶν Ἁγίων Εἰκόνων. Ὕστερα ἀπό τούτους, ἀνεβιβάσθη εἰς τόν Βασιλικόν θρόνον, Νικηφόρος, ὁ ἀπό Γενικοῦ καλούμενος. Τοῦτον διεδέχθη Σταυράκιος ὁ υἱός, καί μετά τοῦτον βασιλεύει Μιχαήλ ὁ Ῥαγγαβέ, τάς θείας Εἰκόνας οὗτοι σεβόμενοι. Τόν Μιχαήλ διεδέχθη Λέων ὁ Θηριώδης ὁ Ἀρμένιος, ὁ ὁποῖος ἀπατηθείς μέ δόλον ὑποκρίσεως, ἀπό κάποιον δυσσεβῆ Μοναχόν ἔγκλειστον, ἀνεκαίνι-

σεν ἐκ δευτέρου τήν εἰκονομαχίαν, καί πάλιν ἄκοσμος ἡ τοῦ Θεοῦ Ἐκκλησία γίνεται, ἀποβαλλομένων, καί συντριβομμένων τῶν θείων Εἰκόνων. Τοῦτον διεδέχθη ὁ Ἀμοραῖος Μιχαήλ· καί τοῦτον ὁ Θεόφιλος, ὁ υἱός τῆς κατά τῶν Εἰκόνων μανίας, ὅστις ὑπέρ πάντας τούς προτέρους του ἐλύσσαξε κατά τῶν Ἁγίων Εἰκόνων. Οὗτος ὁ Θεόφιλος, πολλούς μέν τῶν Ἁγίων Πατέρων, ποιναῖς καί κολάσεσι πολυτρόπως βασανίσας ὑπέρ τῶν Ἁγίων Εἰκόνων, ἱστορεῖται, ὅτι καί τήν δικαιοσύνην ἠγάπα κατά πολλά, ὥστε ὁποῦ κάποιαν ἡμέραν ἠθέλησε νά μάθῃ, ἀνίσως εἶναι κανείς μέσα εἰς τήν πόλιν, ὁποῦ νά ἐνοχλῇ τόν πλησίον του, καί τῆς ζητήσεως εἰς πολλάς ἡμέρας γενομένης, καθώς λέγουσι, δέν εὑρέθη τίς. Ἐπειδή λοιπόν δώδεκα χρόνους ἐβασίλευσε, τέλος, πίπτων εἰς δυσεντερίαν, ἐκινδύνευεν εἰς θάνατον, τότε ἤνοιξε τό στόμα αὐτοῦ, καί ἐστέκετο ἀνοικτόν, τόσον πολύ, ὥστε ὁποῦ καί αὐτά τά ἔγκατα αὐτοῦ μέσα βαθέα διεφαίνοντο. Εἰς τοῦτο τό ἐλεεινόν θέαμα ἡ Βασίλισσα Θεοδώρα, πικρῶς θλιβομένη, μόλις τήν ἥρπασεν ὀλίγος ὕπνος, καί βλέπει εἰς τόν ὕπνον της τήν ἄχραντον Θεοτόκον, μέ τό προαιώνιον Βρέφος εἰς τάς ἀγκάλας της, περικεκυκλωμένην ἀπό λαμπροφανεῖς Ἀγγέλους, καί ἐν ταὐτῷ βλέπει καί Θεόφιλον τόν ἄνδρα της, ὅτι ἐδέρνετο, καί ὠνειδίζετο ἀπό αὐτούς. Ἐξύπνησεν ἡ Βασίλισσα, καί ὁ Θεόφιλος ὀλίγον τι ἀναπνεύσας ἐξεβόησεν, ἀλλοίμονον εἰς ἐμέ τόν

ἄθλιον, ὅτι διά τάς Ἁγίας Εἰκόνας μέ δέρνουσι· καί παρευθύς ἡ Βασίλισσα, ἔβαλεν ἐπάνω εἰς αὐτόν τήν Εἰκόνα τῆς Θεοτόκου, μετά δακρύων παρακαλοῦσα τήν Δέσποιναν. Ὁ δέ Θεόφιλος, εἰς τοιαύτην ὤν κατάστασιν, βλέπων ἕν ἀπό τούς περιεστῶτας, ὁποῦ εἶχε κρεμασμένον ἐγκόλπιον, ἁπλώσας τήν χεῖρά του τό ἥρπασε, καί τό κατεφίλει, καί παρευθύς τό στόμα ἐκεῖνο ὁποῦ ἐλύσσαξε κατά τῶν Ἁγίων Εἰκόνων, καί ὁ λάρυγξ ὁποῦ ἠνοίχθη τόσον ἀναίσχυντα, ἐγύρισαν εἰς τήν φυσικήν των κατάστασιν, καί ἔπαυσεν ἀπό τήν ἀνάγκην ἐκείνην καί βίαν, ὁποῦ τόν κατεκυρίευε, καί ἐκοιμήθη, ὁμολογῶν πώς εἶναι πρέπον νά τιμῶμεν τάς Ἁγίας Εἰκόνας, καί νά τάς σεβώμεθα. Λοιπόν ἐκβαλοῦσα ἡ Βασίλισσα τάς σεπτάς καί Ἁγίας Εἰκόνας, ὁποῦ τάς εἶχε κεκλεισμένας μέσα εἰς τά ἐδικά της κιβώτια, ἔκαμε τόν Θεόφιλον, νά τάς τιμᾷ νά τάς ἀσπάζεται μέ ὅλην του τήν ψυχήν· καί μετ' ὀλίγον ὕστερον, ἐτελείωσε καί τήν ζωήν. Ἡ δέ εὐσεβεστάτη
104 Βασιλίς, παρευθύς ἔστειλε προστάγματα πανταχοῦ, ὅσοι διά τάς Ἁγίας Εἰκόνας εὑρίσκοντο εἰς ἐξορίας καί φυλακάς, ὅλοι νά ἀπολυθοῦν, καί νά ἔχουν πᾶσαν ἄδειαν καί ἄνεσιν· καί ἐν ταὐτῷ ἐγκρεμνίζεται ἀπό τόν Πατριαρχικόν θρόνον ὁ εἰκονομάχος Ἰωάννης, ὁ καί Ἰαννίς διά δυσφημίαν ὀνομαζόμενος, ὡσάν ὁποῦ ὁ Ἰαννίς ἐστάθη εἷς ἀπό τούς ἐπαοιδούς τοῦ Φαραώ ὁ μαντιάρχης καί δαιμονιάρχης μᾶλλον, ἤ Πατριάρχης

ὀνομάζεσθαι ἄξιος. Ἀναβιβάζεται δέ εἰς τόν θρόνον ὁ ἄξιος τοῦ θρόνου, ὁ τοῦ Χριστοῦ ὁμολογητής Μεθόδιος, πολλά παθῶν πρότερον ὑπέρ τῶν Ἁγίων Εἰκόνων, καί ἐν τάφῳ ζῶν, ὁ τοῦ Οὐρανοῦ ἄξιος κατακλεισθείς. Τούτων οὕτως ἐχόντων ἐπίσκεψίς τις ἐγένετο θεία, εἰς τόν μέγαν Ἰωαννίκιον, εἰς τό Ὄρος τοῦ Ὀλύμπου ἀσκητεύοντα. Ἦλθε γάρ πρός αὐτόν, ὁ μέγας Ἀσκητής Ἀρσαάκιος, λέγων, ὁ Θεός μέ ἔστειλε πρός σέ, διά νά ὑπάγωμεν ὁμοῦ πρός τόν Ὁσιώτατον ἄνδρα Ἡσαΐαν, ὁποῦ εἶναι εἰς τήν Νικομήδειαν ἔγκλειστος, διά νά μάθωμεν ἀπό αὐτόν, τά ἀρεστά τῷ Θεῷ, καί τῇ αὐτοῦ Ἐκκλησίᾳ συμφέροντα. Καί λοιπόν ἀπελθόντες εἰς τόν Ὁσιώτατον Ἡσαΐαν, ἤκουσαν ἀπό αὐτόν ταῦτα· τάδε λέγει Κύριος, ἰδού ἤγγικε τό τέλος τῶν ἐχθρῶν τοῦ ἐμοῦ ἐκτυπώματος· ἐσεῖς λοιπόν ἀπέλθετε εἰς τήν Βασίλισσαν Θεοδώραν, ἀλλά δή καί εἰς τόν Πατριάρχην Μεθόδιον, καί εἴπατε οὕτω· παῦσον πάντας τούς ἀνιέρους, καί οὕτω σύν Ἀγγέλοις μοι θυσίαν προσενέγκοις, μορφῆς ἐμῆς τήν Εἰκόνα καί τοῦ Σταυροῦ σεβόμενος. Ταῦτα ἀκούσαντες, εὐθέως ἔφθασαν εἰς Κωνσταντινούπολιν, καί φανερώνουσι τῷ θείῳ Μεθοδίῳ, καί εἰς ὅλους τούς ἐκλεκτούς, τούς λόγους τοῦ Ὁσιωτάτου Ἀσκητοῦ· καί οὕτως ἀθροισθέντες ὁμοῦ οἱ Λογάδες τῆς πόλεως, ἐπῆγαν εἰς τήν Βασίλισσαν, καί εἰς ὅλα τήν εὗρον πρόθυμον, ἐπειδή ἦτον παιδιόθεν εὐσεβής καί φιλόθεος· καί λοιπόν, παρευθύς ἡ Βασίλισσα

ἐκβάλλουσα τήν Εἰκόνα τῆς Θεοτόκου, τήν ὁποίαν εἶχε κεκρεμασμένην ἀπό τόν τράχηλόν της, ἐνώπιον πάντων αὐτήν ἠσπάζετο, λέγουσα, ὅποιος ταύτας δέν προσκυνεῖ, καί δέν τάς ἀσπάζεται σχετικῶς, ἤγουν ἀναφέρων τήν τιμήν εἰς τό πρωτότυπον, καί ὄχι ὡσάν θεούς λατρευτικῶς, ἀλλ᾽ ὡσάν Εἰκόνας τῶν ἀρχετύπων, διά τόν πόθον, ὁ τοιοῦτος ἄς ἔχῃ τό ἀνάθεμα. Ταῦτα ἰδόντες καί ἀκούσαντες οἱ θεῖοι Ἄνδρες ἀπό τήν εὐσεβεστάτην Βασίλισσαν, ἐχάρησαν μεγάλην χαράν. Ἐζήτησε δέ καί αὐτή ἀπό αὐτούς νά προσφέρωσι δέησιν πρός τόν Θεόν, διά τόν Θεόφιλον τόν ἄνδρα της· εἰς τήν ἀρχήν δέν συγκατένευσαν, ὅμως βλέποντες τήν πίστιν αὐτῆς, τέλος ἐπείσθησαν, λαβόντες ὡς ἐπιχείρημα, μέ τό νά ἤκουσαν, ὅτι πρός τό τέλος του μετενόησε, καί τάς ἁγίας Εἰκόνας ἀσπαζόμενος ἐξεψύχησε. Καί λοιπόν, ὁ θεῖος Μεθόδιος, συναθροίζων εἰς τήν Μεγάλην Ἐκκλησίαν, ὅλον τόν λαόν, καί τό Ἱερατικόν Τάγμα, καί τούς Ἀρχιερεῖς, ἐπῆγεν ἐκεῖσε καί ὁ ἴδιος. Ἐκεῖ ἦσαν καί οἱ Λογάδες οἱ ἐλθόντες ἀπό τόν Ὄλυμπον, ἤγουν ὁ μέγας Ἰωαννίκιος, καί ὁ Ἀρσαάκιος, καί ὁ Ναυκράτιος, καί οἱ μαθηταί Θεοδώρου τοῦ Στουδίτου, καί ὁ τοῦ μεγάλου ἀγροῦ Θεοφάνης, καί Θεόδωρος οἱ γραπτοί, καί ὁμολογηταί, Μιχαήλ ὁ Ἁγιοπολίτης καί Σύγγελος, καί ἄλλοι πλεῖστοι Ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι, μετά παντός τοῦ λαοῦ, ὡς εἴπωμεν, δέησιν ὁλονύκτιον προσέφερον εἰς τόν Θεόν, ὑπέρ τοῦ Θεοφίλου, καί ὅλοι μετά δα-

κρύων καί συντριβῆς εὔχοντο· καί τοῦτο ἐποίουν δι' ὅλης τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν. Ἀλλά καί αὐτή ἡ Βασίλισσα Θεοδώρα, τά αὐτά ἔπραττε χωριστά, μετά τῶν γυναικῶν τῆς αὐλῆς, καί ὁμοῦ μέ τόν ἐπίλοιπον λαόν· εἰς καιρόν δέ ὁποῦ ταῦτα ἐγένοντο, Θεοδώρα ἡ Βασίλισσα, ἐκεῖ κατά τόν ὄρθρον, τῆς Παρασκευῆς, ἀπεκοιμήθη μικρόν, καί ἐκεῖ τῇ ἐφάνῃ, πώς εὑρέθη κοντά εἰς τήν κολώναν τοῦ Σταυροῦ, καί ὅτι κάποιοι διέβαινον ἐκεῖθεν, ἔχοντες διαφόρων κολαστηρίων ὄργανα, καί εἰς τό μέσον τούτων, εἶδε Θεόφιλον τόν ἄνδρα της, ὁποῦ τόν ἔσυρνον δέσμιον, ὀπίσω τάς χεῖρας δεδεμένας ἔχοντα. Τοῦτον γνωρίσασα, τῇ ἐφάνῃ, πώς ἠκολούθει καί αὐτή κατόπιν εἰς ἐκείνους ὁποῦ τόν ἐπήγαιναν εἰς τόν θάνατον· ἔπειτα, ἀφ' οὗ ἔφθασαν, ἕως τῆς χαλκῆς Πύλης, εἶδεν ἐκεῖ κάποιον ἄνθρωπον, ὁποῦ εἶχε μίαν θεωρίαν ὑπερφυσικήν, ὁ ὁποῖος ἐκάθητο ἔμπροσθεν τῆς εἰκόνος τοῦ Χριστοῦ, καί ἔμπροσθεν τούτου ἔστησαν τόν Θεόφιλον. Ἡ Βασιλίς λοιπόν πιάνουσα τούς πόδας αὐτοῦ, τόν παρεκάλει διά Θεόφιλον τόν ἄνδρα της. Οὗτος ἀνοίξας κάποιαν ὥραν τό στόμα του, εἶπε πρός αὐτήν· ὦ γύναι, μεγάλη σου ἡ πίστις! ἤξευρε λοιπόν, ὅτι διά τά δάκρυά σου, καί τήν πίστιν σου, καί διά τάς δεήσεις καί ἱκεσίας, τῶν πιστῶν μου θεραπόντων, καί τῶν ἱερέων μου, γίνομαι ἵλεως, καί συγχωρῶ Θεοφίλῳ τῷ ἀνδρί σου. Ἔπειτα εἶπε καί εἰς ἐκείνους ὁποῦ τόν ἐπήγαιναν δεδεμένον, λύσατε αὐτόν,

καί παραδώσετέ τον εἰς τήν γυναῖκά του· καί ἐκείνη λαβοῦσα αὐτόν, ἀνεχώρησε ἀγαλλομένη καί χαίρουσα· καί παρευθύς ὁ ὕπνος ἔφυγε, καί ἐξύπνησε. Καί αὐτά μέν εἶδεν ἡ Βασίλισσα Θεοδώρα· ὁ δέ Πατριάρχης ὁ Ἱερός Μεθόδιος, εἰς καιρόν ὁποῦ ἐγίνοντο, δι' αὐτόν αἱ προσευχαί καί αἱ δεήσεις ὑπό τῆς Ἐκκλησίας, πέρνων ἄγραφον χαρτί, ἔγραψεν εἰς αὐτό ὅλων τῶν αἱρετικῶν Βασιλέων τά ὀνόματα, βαίνων τελευταῖον καί αὐτοῦ τοῦ Θεοφίλου τό ὄνομα, καί ἔβαλεν αὐτά ὑπό κάτω τῆς Ἁγίας Τραπέζης. Φθάσασα δέ ἡ Παρασκευή, ἰδού βλέπει καί αὐτός Ἄγγελόν τινα φοβερόν, ὁποῦ ἐμβῆκε μέσα εἰς τόν μέγαν Ναόν· καί πλησιάζων εἰς τόν Πατριάρχην, λέγεται πῶς τῷ εἶπεν, εἰσηκούσθη ἡ δέησίς σου Ἐπίσκοπε, καί ἔλαβε τήν συγχώρησίν του ὁ Βασιλεύς Θεόφιλος· λοιπόν, παῦσαι εἰς τό ἔξῆς, καί μήν ἐνοχλῆς περί αὐτοῦ τόν Θεόν. Ὁ δέ Πατριάρχης θέλων νά ἰδῇ, ἄν εἶναι ἀληθινόν τό ὅραμα, κατέβη ἀπό τόν θρόνον, καί πιάνων τό χαρτί, καί ξεδιπλώνων αὐτό εὗρεν (ὦ τῶν ἀκαταλήπτων τοῦ Θεοῦ κριμμάτων! ἐξηλειμμένον θεόθεν ὁλότελα, τό τοῦ Θεοφίλου ὄνομα. Τοῦτο μαθοῦσα ἡ Βασίλισσα ἄκρως ἐχάρη, καί ἐμήνυσεν εἰς τόν Πατριάρχην, νά συναθροίσῃ ὅλον τόν λαόν, μετά τῶν τιμίων Σταυρῶν, καί τῶν ἁγίων Εἰκόνων, εἰς τήν μεγάλην Ἐκκλησίαν, διά νά ἀποδοθῇ εἰς αὐτήν ὁ στολισμός τῶν Ἁγίων Εἰκόνων, καί νά φανερωθῇ εἰς ὅλους τό ξένον καί παράδοξον τεράστιον.

Καί λοιπόν πάντων σχεδόν εἰς μεγάλην Ἐκκλησίαν συναχθέντων, μετά κηρῶν καί λαμπάδων, ἦλθεν καί ἡ Βασίλισσα μετά τοῦ υἱοῦ αὐτῆς, καί ἐκεῖθεν ἐξελθόντες, ἐλιτάνευσαν μετά τῶν ἁγίων Εἰκόνων, καί τῶν θείων καί σεβασμίων τοῦ Σταυροῦ ξύλων, καί τοῦ ἱεροῦ καί θείου Εὐαγγελίου, ἕως ὁποῦ ἔφθασαν εἰς τό λεγόμενον Μίλιον, ἀνακράζοντες ὅλοι τό, Κύριε ἐλέησον. Καί μετά ταῦτα ἐγύρισαν εἰς τήν Ἐκκλησίαν, καί ἐτέλεσαν τήν θείαν Λειτουργίαν, ἀφ' οὗ πρότερον, οἱ προειρημένοι Ἅγιοι ἄνδρες, ἀνεστήλωσαν τάς ἁγίας καί σεβασμίας Εἰκόνας. Καί οἱ μέν εὐσεβεῖς, καί ὀρθόδοξοι, καί ὑπέρμαχοι τῶν ἁγίων Εἰκόνων, ἀνεκηρύχθησαν, καί αἰωνίου μνήμης ἠξιώθησαν· οἱ δέ ἐναντίον, καί μή ἀποδεχόμενοι τήν τιμήν τῶν Ἁγίων Εἰκόνων, ἀπεκηρύχθησαν, καί τῷ ἀναθέματι παρεδόθησαν. Καί ἀπό τότε, οἱ Ἅγιοι ἐκεῖνοι Ὁμολογηταί, καί πᾶσα ἡ Καθολική Ἐκκλησία, ἀπεφάσισαν, νά γίνηται κατ' ἔτος ἡ τοιαύτη ἱερά πανήγυρις, διά νά μή τύχῃ, ὅ μή γένοιτο, καί πέσωμεν πάλιν εἰς τήν αὐτήν δυσσέβειαν. Ἡ ἀπαράλλακτος Εἰκών τοῦ Πατρός, καί δι' ἡμᾶς περιγραφῆναι καταδεξάμενος, πρεσβείαις τῶν Ἁγίων σου ὁμολογητῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.


Ο ΑΓΙΟΣ
ΓΡΗΓΟΡΙΟΣ
Ο
ΠΑΛΑ
ΜΑΣ



ΚΥΡΙΑΚΗ Β΄ ΕΒΔΟΜΑΔΟΣ ΝΗΣΤΕΙΩΝ

(ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ δευτέρᾳ τῶν νηστειῶν, μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ἁγίοις πατρός ἡμῶν Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ.

Α΄

Οὗτος ὁ τοῦ θείου καί ἀνεσπέρου φωτός υἱός, ὁ ἀληθής τῷ ὄντι Θεοῦ ἄνθρωπος καί θαυμαστός τῶν θείων ὑπηρέτης καί λειτουργός, κατήγετο μέν ἐξ Ἀσίας, πατρίδα δ' ἔσχε τήν πασῶν τῶν πόλεων βασιλεύουσαν· γονέας δέ ἔσχε περιφανεῖς καί ἐνδόξους· οὐ τόν ἔξω μόνον καί κατ' αἴσθησιν ἄνθρωπον, ἀλλά πολλῷ μᾶλλον τόν ἔνδον καί μή ὁρώμενον, ἀρετῇ καί παιδείᾳ κοσμῆσαι ἐσπούδασεν. Ἐν ἁπαλῇ δέ πάνυ τῇ ἡλικίᾳ, τελευτήσαντος αὐτῷ τοῦ πατρός, ἡ μήτηρ αὐτόν τε καί τούς ἀδελφούς καί τάς ἀδελφάς παιδείᾳ καί νουθεσίᾳ Κυρίου καί ἱεροῖς γράμμασιν ἔτρεφέ τε καί ἐξεπαίδευε, καί τήν ἔξω σοφίαν ἐν διδασκάλοις φοιτῶντα καλῶς ἐξασκῆσαι διέγνω. Ὅς, ὀξύτητι φύσεως σπουδήν συμμίξας κατάλληλον, ἐν ὀλίγῳ τε παντοίαν λογικήν ἐπιστήμην συνείληφεν, εἰκοσαέτης που γεγονώς, πάντα

χαμαίζηλα καί ὀνείρων ἀπατηλότερα ἡγησάμενος, πρός τόν πάσης σοφίας αἴτιον καί χορηγόν ἀναδραμεῖν ἐζήτει Θεόν καί διά βίου τελεωτέρου αὐτῷ ἑαυτόν ὅλον ἀναθεῖναι. Ἔνθεν τοι καί ἀποκαλύπτει τόν θεοφιλῆ σκοπόν τῇ μητρί καί τόν ἐκ πολλοῦ πρός Θεόν αὐτοῦ πόθον καί διάπυρον ἔρωτα· κἀκείνην ὁμοίως εὑρίσκει ταῦτά τε ὠδίνουσαν ἐκ μακροῦ καί τοῖς ἴσοις αὐτῷ χαίρουσαν. Αὐτίκα τοίνυν ἡ μήτηρ τούς παῖδας περί αὐτήν συναθροίσασα, καί *Ἰδού ἐγώ καί τά παιδία*, μετ' εὐφροσύνης εἰποῦσα, *ἅ μοι ἔδωκεν ὁ Θεός*, τήν τε γνώμην αὐτῶν ἀποπειρᾶται, ἥν ἔχουσι περί τά καλά, καί τόν τοῦ μεγάλου σκοπόν αὐτοῖς ἀνακαλύπτει. Κἀκεῖνος, παραινετικοῖς λόγοις πρός αὐτούς χρησάμενος, θᾶττον ἤ λόγος πειθομένους ἅπαντας εἶχε καί πρός τόν ὅμοιον αὐτῷ πόθον καί τήν τοῦ βίου φυγήν ἑπομένους προθύμως. Ὅθεν καί τά ὄντα τοῖς πένησιν εὐαγγελικῶς διανείμας, εὐμένειάν τε βασιλικήν καί τιμάς καί κρότους τούς ἐν τοῖς βασιλείοις εὐψύχως καταλιπών, τῷ Χριστῷ ἠκολούθησε, τήν μητέρα μέν καί τάς ἀδελφάς εἰς παρθενῶνα ἐγκαταστήσας, τούς ἀδελφούς δέ συμπαραλαβών, τό τῆς ἁγιωσύνης ἐπώνυμον ὄρος, τόν Ἄθω καταλαβών.

Ἀλλά τούς μέν ἀδελφούς τέως ἑτέραις πείθει προσμένειν μοναῖς, ἄτε τοῦ καιροῦ μή διδόντος ἡνωμένους ἀλλήλους τόν κατά Θεόν βίον ἀνύειν. Ἑαυτόν δέ εἰς ὑποταγήν θαυμασίου τινος ἀνδρός καθ' ἡσυχίαν μόνῳ

Θεῷ ζῶντος παραδίδωσι, τοὔνομα Νικοδήμου· παρ' οὗ πᾶσαν ἐντολήν, πᾶσαν ἀρετήν ἐν ταπεινώσει ψυχῆς δι' ἔργων μεμαθηκώς, καί τήν τῆς πανάγνου Θεοτόκου ἀντίληψιν καί πρός πάντα ἄμαχον ἀρωγήν ἐν ἀποκαλύψει μυστικῇ ἐνταῦθα δεξάμενος, μετά τήν ἐκείνου πρός Θεόν ἐκδημίαν, καί ἐν τῇ μεγίστῃ Λαύρᾳ χρόνους τινάς διατρίψας, μετά σπουδῆς μεγίστης καί πεπολιωμένου φρονήματος, τῷ φίλτρῳ τῆς ἡσυχίας τῆς Λαύρας ἀναχωρεῖ καί τήν ἐρημίαν ἀσπάζεται.

Πόθον δέ πόθῳ ἀεί προστιθείς καί Θεῷ συνεῖναι διά παντός γλιχόμενος, ἄκρᾳ σκληραγωγίᾳ ἑαυτόν ἐκδίδωσι· καί προσευχή μέν ἀκριβεῖ πάντοθεν τάς αἰσθήσεις συστείλας, πρός Θεόν δέ τόν νοῦν ἀνυψώσας, καί καιρόν ἅπαντα προσευχῆς ἀσχολίαν καί τῶν θείων μελέτην πεποιημένος, καί τόν βίον ῥυθμίσας ἄριστα, τούς τῶν δαιμόνων πολέμους τῇ τοῦ Θεοῦ συμμαχίᾳ κατά κράτος νικᾷ, καί παννύχοις στάσεσι πηγαῖς δακρύων τήν ψυχήν καθάρας, σκεῦος ἐκλεκτόν τῶν χαρισμάτων τοῦ θείου Πνεύματος ἐχρημάτισε καί θεοφανείας συχνάς ἐθεάσατο, καί τό θαυμασιώτερον, ὅτι καί μεταβάς, διά τάς τῶν Ἰσμαηλιτῶν ἐφόδους εἰς Θεσσαλονίκην καί τήν ἐν Βερῥοίᾳ Σκήτην ποιούμενος, καί τισι τῶν πόλεων ἀναγκαζόμενος ὁμιλεῖν, οὐδ' οὕτω τῆς κατά πολιτείαν μετέβαινεν ἀκριβείας.

Ἐπί χρόνοις οὖν οὐκ ὀλίγοις τελείως καί σῶμα καί ψυχήν καθαγνίσας, ψήφῳ Θεοῦ τό μέγα χρίσμα

τῆς ἱερωσύνης ἐδέξατο· καί καθάπερ τις ἄϋλος καί, ὡς εἰπεῖν, ἔξω ἑαυτοῦ γενόμενος, τά μυστικά ταύτης ἐπιτελῶν, ὡς καί μόνον ὁρώμενος τάς τῶν ὁρώντων κατανύσσειν ψυχάς, μέγας ἦν ἀληθῶς, καί τοῖς κατά Θεόν ζῶσι πνευματοφόρος ἐγινώσκετο. Ἐφανεροῦτο δέ τοιοῦτος ὤν καί τοῖς τά ἔξωθεν ὁρῶσι, κράτος ἔχων κατά δαιμόνων, καί τῆς αὐτῶν ἀπάτης καί μηχανῆς τούς προσληφθέντας λυτρούμενος, ἀκαρπίαν δένδρων εἰς εὐκαρπίαν μεταβάλλων, τά μέλλοντα προβλέπων καί τοῖς ἄλλοις τοῦ θείου Πνεύματος χαρίσμασί τε καί καρποῖς κεκοσμημένος ἦν. Ἐπεί δέ τό μέν τήν ἀρετήν ἐνεργεῖν ἐν τῇ ἐξουσίᾳ κεῖται τῇ ἡμετέρᾳ, τό δέ πειρασμοῖς περιπεσεῖν οὐκ ἔστιν ἐφ' ἡμῖν· (χωρίς δέ τούτων οὐκ ἔστι τελείωσις ἤ φανέρωσις τῆς πρός τόν Θεόν πίστεως· συνελθόντα γάρ φησι πρᾶξις καί πόθος ἐπ' ἀγαθῷ, τελοῦσι τόν κατά Θεόν ἄνθρωπον)· ποικίλοις καί συνεχέσι περιπεσεῖν ὁ μέγας οὗτος συγχωρεῖται πειρασμοῖς, ἵνα διά πάντων καί τέλειος ὄντως φανῇ.

114 Τά δ' ἐντεῦθεν τίς νοῦς ἐννοήσει; τίς ἐξειπεῖν δυνήσεται λόγος τάς τε τῶν προτέρων μείζους μηχανάς τοῦ δεινοῦ πολεμήτορος καί τάς τῶν νεοφανῶν θεομάχων κατ' αὐτοῦ διαβολάς καί συκοφαντίας καί ὅσας ὑπέρ εὐσεβείας ἀγωνιζόμενος, ἐφ' ὅλοις τρισί πρός τοῖς εἴκοσιν ἔτεσι παρ' αὐτῶν ὑπέστη κακώσεις καί θλίψεις παντοδαπάς; Τό γάρ ἰταλικόν θηρίον, ὁ Καλαβρός Βαρλαάμ, τῇ ἔξω σοφίᾳ μέγα φρονῶν, καί τῇ

ματαιότητι τῶν οἰκείων διαλογισμῶν πάντα οἰόμενος εἰδέναι, δεινόν ἐγείρει πόλεμον κατά τῆς Ἐκκλησίας τοῦ Χριστοῦ καί τῆς εὐσεβοῦς ἡμῶν πίστεως καί τῶν ἀσφαλῶς ταύτης ἀντεχομένων· τήν γάρ κοινήν χάριν Πατρός, Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος καί τό φῶς τοῦ μέλλοντος αἰῶνος, καθώς καί οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, ὁ καί ὁ Χριστός προϋπέδειξεν ἐπ᾽ ὄρους λάμψας, καί ἁπλῶς πᾶσαν δύναμιν καί ἐνέργειαν τῆς τρισυποστάτου Θεότητος καί τό πᾶν διαφέρον ὁπωσοῦν τῆς θείας φύσεως κτιστόν εἶναι φρενοβλαβῶς ἐδογμάτισε, καί τούς εὐσεβῶς ἄκτιστον φρονοῦντας τό θειότατον ἐκεῖνο φῶς καί πᾶσαν δύναμιν καί ἐνέργειαν, ὡς μηδενός ὄντος προσφάτου τῶν τῷ Θεῷ προσόντων φυσικῶς, λόγοις τε καί συγγράμμασι μακροῖς διιθεῖτας ὠνόμαζε καί πολυθέους, καθάπερ Ἰουδαῖοι καί Σαβέλλιός τε καί Ἄρειος ὀνομάζουσιν ἡμᾶς.

Διά ταῦτα τοίνυν ὁ θεῖος Γρηγόριος, ἅτε τῆς εὐσεβείας ὑπέρμαχος καί προστάτης περιφανής, καί πρό πάντων ὑπέρ ταύτης καί προπολεμῶν καί συκοφαντούμενος, μετάπεμπτος ὑπό τῆς Ἐκκλησίας τῇ Κωνσταντίνου ἐπιδημεῖ. Τοῦ θειοτάτου τοίνυν βασιλέως τοῦ Ἀνδρονίκου, τοῦ τῶν Παλαιολόγων τετάρτου, τῆς εὐσεβείας προασπίζοντος, σύνοδος ἱερά συγκροτεῖται· καί τοῦ Βαρλαάμ παραγεγονότος καί τῶν αὐτοῦ προβεβλημένων κακοδόξων δογμάτων καί κατά τῶν εὐσεβῶν κατηγορημάτων, Πνεύματος θείου πλησθείς ὁ

μέγας Γρηγόριος καί δύναμιν ἄμαχον περιβαλόμενος ἄνωθεν, τό κατά τοῦ Θεοῦ ἀνοιχθέν ἐκεῖνο στόμα ἐφίμωσε καί εἰς τέλος κατῄσχυνε, καί πυριπνόοις λόγοις τε καί συγγράμμασι τάς αὐτοῦ φρυγανώδεις αἱρέσεις ἐτέφρωσε. Διό καί τήν αἰσχύνην οὐκ ἐνεγκών ὁ τῆς εὐσεβείας πολέμιος, εἰς Λατίνους, ὅθεν ἦκε, φυγάς ᾤχετο. Μετ' ἐκεῖνον δ' εὐθύς τόν Πολυκίνδυνον συνοδικῶς ἐξελέγχει καί τά τούτου συγγράμματα λόγοις ἀντιῤῥητικοῖς διασπᾷ. Οἱ δέ τῆς ἐκείνου μετασχόντες λύμης οὐδ' οὕτως ἐπαύσαντο πολεμεῖν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ.

Ἔνθεν τοι καί βίᾳ πολλῇ τῆς ἱερᾶς συνόδου καί τοῦ βασιλέως αὐτοῦ καί πρό πάντων τῇ θείᾳ ψήφῳ πεισθείς ὁ Γρηγόριος, ἐπί τόν ἀρχιερατικόν ἀνάγεται θρόνον καί τῆς κατά Θεσσαλονίκην ἱερᾶς Ἐκκλησίας ποιμήν καθίσταται. Διό καί πολλῷ πλείους τῶν προτέρων ἀγῶνας ὑπέρ τῆς ὀρθοδόξου πίστεως γενναίως ἀνύει καί καρτερῶς· τούς γάρ πονηρούς διαδόχους Ἀκινδύνου καί Βαρλαάμ, πολλούς ἀναφανέντας καί χαλεπούς καί δεινῶν θηρίων δεινά κυήματα, καί τά τούτων δόγματά τε καί συγγράμματα, οὐχ ἅπαξ ἤ δίς ἤ τρίς, ἀλλά πολλάκις καί διά πολλῶν, οὐδ' ἐφ' ἑνός βασιλέως ἤ πατριάρχου, ἀλλ' ἐπί τριῶν κατά διαδοχήν τῶν σκήπτρων ἐπειλημμένων καί πατριαρχῶν ἰσαρίθμων καί συνόδων οὐκ εὐαριθμήτων, λόγοις τε καί συγγράμμασι θεοπνεύστοις πολυειδῶς ἀνατρέπει καί κατά κράτος

εἰς τέλος ἐκνικᾷ. Καί τινες ἀμεταβλήτως ἔχοντες, παρ' οὐδέν τιθέμενοι τήν ἄνω δίκην, οὕτω διέμειναν· καί πασῶν γάρ τῶν αἱρέσεών εἰσιν ἔτι λείψανα, κατά τῶν αὐτάς τροπωσαμένων ἁγίων ἀναισχυντοῦντα, ἵνα μή λέγω τό τῶν Ἰουδαίων πάντολμον γένος, μέχρι καί νῦν ἔχον τήν λύτταν κατά Χριστοῦ.

Τοιαῦτα μέν οὖν ὡς ἐν βραχεῖ καί τοσαῦτα τά τοῦ μεγάλου κατά τῶν ἀσεβῶν τρόπαια. Ὁ δέ Θεός τρόποις ἀῤῥήτοις καί πρός Ἀνατολάς τοῦτον ἐκπέμπει διδάσκαλον. Στέλλεται μέν οὖν ὡς πρέσβυς ἀπό Θεσσαλονίκης ἐπί τήν Κωνσταντίνου καταλλάξων διαφερομένους τούς βασιλεῖς· συλλαμβάνεται δέ παρά τῶν Ἀγαρηνῶν καί κρατεῖται ὅλον ἐνιαυτόν, τόπους ἐκ τόπων καί πόλεις ἐκ πόλεων ἀθλητικῶς διερχόμενος, καί διδάσκων ἀπτοήτως τό τοῦ Χριστοῦ Εὐαγγέλιον. Καί τούς μέν ἑδραίους ἐπιβεβαιῶν ἔτι καί παρακαλῶν τῇ πίστει ἐμμένειν, τούς δέ κατ' αὐτήν κλονουμένους καί τινας ἀπορίας καί ζητήσεις ἐπί τοῖς τηνικαῦτα γενομένοις προβαλλομένους θεοσόφως ἐπιστηρίζων, καί τήν θεραπείαν, ἐφ' οἷς ἔλεγον, ἱκανωτάτην ἐπεδίδετο· τοῖς δέ λοιποῖς τῶν ἀπίστων καί τοῖς ἀθλίως ἀποῤῥαγεῖσι Χριστιανῶν καί προσκεχωρηκόσιν ἐκείνοις καί διασύρουσι τά ἡμέτερα περί τῆς τοῦ Κυρίου καί Θεοῦ ἡμῶν ἐνσάρκου οἰκονομίας καί τῆς τοῦ Σταυροῦ τοῦ τιμίου καί τῶν σεπτῶν εἰκόνων παρ' ἡμῶν προσκυνήσεως πολλάκις παῤῥησίᾳ διελέγετο· ἔτι τε περί τοῦ

Μωάμεθ καί πολλῶν ἄλλων ζητημάτων παρ' αὐτῶν προβεβλημένων, τούς μέν εἶχεν αὐτόν θαυμάζοντας, τούς δέ κατ' αὐτοῦ μαινομένους καί χεῖρας ἐπανατείνοντας, οἵ καί μαρτυρικῶς ἄν ἐτελείωσαν, εἰ μή θείᾳ προνοίᾳ τῇ τῶν ὑπέρ αὐτοῦ χρημάτων ἐλπίδι φειδοῦς ἠξίουν· οὗ γεγονότος παρά τῶν φιλοχρίστων, ἠλευθεροῦτο ὁ μέγας, καί τῷ οἰκείῳ ποιμνίῳ μάρτυς ἀναίμακτος λαμπρῶς αὖθις ἐπιδημεῖ, πρός τοῖς ἄλλοις πολλοῖς καί μεγάλοις, οἷς εἶχε, χαρίσμασί τε καί προτερήμασι, τοῖς τοῦ Χριστοῦ καί αὐτός κατακοσμηθείς στίγμασί τε καί τά τοῦ Χριστοῦ κατά Παῦλον ἔχων ἐν ἑαυτῷ ὑστερήματα.

Ἵνα δέ καί τῶν χαρακτηριζόντων ἐκεῖνον τινά ὑποδείξωμεν, ταῦτα ἦν ἐκείνου ἰδιαίτατα· τό καθ' ὑπερβολήν πρᾷον καί ταπεινόν, ἔνθα μή περί Θεοῦ καί θείων ὁ λόγος· ἐν γάρ τοῖς τοιούτοις καί πάνυ ἦν μαχητής· τό ἀμνησίκακον λίαν καί ἀνεξίκακον· τό σπουδάζειν κατά τό δυνατόν τοῖς χρηστοτέροις ἀμείβεσθαι τούς πρός αὐτόν ἔν τισι φανέντας κακούς· τό μηδαμῶς εὐκόλως κατά τινων παραδέχεσθαι λόγους· τό πρός τάς ἐπερχομένας ἑκάστοτε δυσχερείας καρτερικόν καί μεγαλόψυχον· τό πάσης ἡδονῆς καί κενοδοξίας ἀνώτερον· τό εὐτελῆ ἀεί εἶναι καί ἀπέριττον ἐν ταῖς χρείαις πάσαις τοῦ σώματος, καίτοι τοσοῦτον ὄντος τοῦ καιροῦ ἐξησθενηκότος· τό τῆς καρτερίας ἤρεμόν τε καί γαληνόν καί ἀεί χαρίεν, οὕτω κατ' ἄκρως αὐτῷ ποιηθέν, ὡς καί

ἀπό τῶν ἔξω δῆλον γίνεσθαι τοῖς ὁρῶσιν· ἐπί πᾶσι τό σύννουν ἀεί καί προσεκτικόν τε καί ἀδιάχυτον· οἷς ἀκόλουθον τό μηδέποτε σχεδόν τούς ὀφθαλμούς ἐκείνου δακρύων εἶναι κενούς, ἀλλ᾽ ὠδίνειν ταῦτα κατά τάς τῶν δακρύων πηγάς.

Οὕτως οὖν ἀπ᾽ ἀρχῆς μέχρι τέλους κατά παθῶν καί δαιμόνων ἀθλητικῶς ἀγωνισάμενος, καί τῆς τοῦ Χριστοῦ Ἐκκλησίας μακράν τούς αἱρετικούς ἐλάσας, καί τήν ὀρθόδοξον πίστιν λόγοις τε καί συγγράμμασι διατρανώσας, καί δι᾽ αὐτῶν ὥσπερ πᾶσαν Γραφήν θεόπνευστον ἐπισφραγίσας, ὡς τόν ἐκείνου βίον καί λόγον καθάπερ ἐπίλογόν τινα εἶναι καί σφραγῖδα τοῦ τῶν ἁγίων βίου καί λόγου, ἔτι τε τήν ἑαυτοῦ ποίμνην ἐπί τρεῖς καί δέκα χρόνους ἀποστολικῶς καί θεαρέστως ποιμάνας καί ἠθικοῖς λόγοις διακοσμήσας καί πρός μάνδραν οὐράνιον ἰθύνας καί, ὡς εἰπεῖν, κοινός ἐργάτης ἀναφανείς τῶν τε ζώντων καί τῶν ἔπειτ᾽ ἐσομένων ὀρθοδόξων ἁπάντων, πρός τήν ὑπερκόσμιον ζωήν μετατίθεται κατά τό χιλιοστόν τριακοσιοστόν δεύτερον ἔτος ἀπό Χριστοῦ, ζήσας τά πάντα ἔτη τρία πρός τοῖς ἑξήκοντα· καί τό μέν πνεῦμα εἰς χεῖρας Θεοῦ παρατίθησι, τό σῶμα δέ τῇ ποίμνῃ καταλιμπάνει, ὅπερ καί σώζεται ἐν τῇ τῆς Θεσσαλονίκης Μητροπόλει, ἐξαισίως ἐν τῷ τέλει λαμπρυνθέν τε καί δοξασθέν ὥς τινα κλῆρον καί θησαυρόν ὑπέρτιμον· θαύμασι γάρ ἑκάστοτε τούς πιστῶς προσιόντας εὐεργετεῖ, καί νόσων

παντοίων ἀπαλλαγήν χαρίζεται, ἀφ' ὧν οὐκ ὀλίγα ἡ κατ' αὐτόν ἱστορία διέξεισι.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Β΄

Οὗτος ὁ κατά ἀλήθειαν τοῦ Θεοῦ ἄνθρωπος, ὁ υἱός τοῦ θείου καί ἀνεσπέρου φωτός, καί θαυμάσιος τῶν θείων ὑπηρέτης καί λειτουργός, πατρίδα μέν ἐγνώρισε τήν Βασιλεύουσαν τῶν πόλεων, γονέας δέ περιφανεῖς καί ἐνδόξους, ὄχι μόνον κατά τόν ἔξω καί φαινόμενον ἄνθρωπον, ἀλλά πολύ περισσότερον, καί κατά τόν μή ὁρώμενον, ἤγουν κατά τήν ψυχήν. Ἐπειδή ἦσαν ὄχι μόνον εὐσεβεῖς τά θεῖα ἀλλά καί ζωήν ἐπέρνουν εὐαγγελικήν καί ἁγίαν· καί ὁμολογουμένως ὁ πατήρ του μέ σημεῖα ἁγιότητος ἐτελείωσε τό ζῆν· ἐπειδή γνωρίζων πῶς ἔφθασε τό τέλος τῆς ζωῆς του, ἐφρόντισε καί ἔλαβε τό μοναχικόν σχῆμα, καί ἀπό Κωνσταντίνου μετωνομάσθη Κωνστάντιος, παραδίδων τά παιδία του εἰς τήν κραταιάν προστασίαν τῆς Θεοτόκου· καί αὐτήν μόνην κατέστησεν ἐπίτροπον ἐπάνω εἰς αὐτά, παρατρέχων τούς βασιλεῖς καί μεγιστάνους τοῦ παλατίου, οἱ ὁποῖοι ὅλοι ἐξίσου εἶχον πρός αὐτόν ἄκραν ἀγάπην καί εὐλάβειαν, καί Θεοῦ ἄνθρωπον τόν ὠνόμαζον. Ἦτον δέ

τότε ὁ Γρηγόριος πολλά ἀπαλός καί τρυφερός τήν ἡλικίαν, ἤτοι χρόνων ἑπτά, καί ἡ μήτηρ του τόν παρέδωκεν εἰς τά σχολεῖα νά διδαχθῇ τήν ἔξω σοφίαν· ὁ ὁποῖος κοντά εἰς τήν εὐφυΐαν, μέ τήν ὁποίαν, τόν ἐπλούτισεν ἡ φύσις, βαίνων καί ἐπιμέλειαν καί κόπους ἀδιακόπους, εἰς ὀλίγον διάστημα καιροῦ, ἐσύναξεν εἰς τόν ἑαυτόν του, πᾶσαν ἐπιστήμην καί μάθησιν, ὥστε ὁποῦ φθάνων τούς εἴκοσι χρόνους, ζηλωτός καί θαυμάσιος ἐγνωρίζετο, ὄχι μόνον ἀπό τούς ἁπλούς καί ἀμαθεῖς, ἀλλά καί ἀπό τούς μεγάλους καί σοφούς. Διά τήν ὁποίαν αὐτοῦ προκοπήν, παρά πάντων ἐζητεῖτο, καί αὐτός ὁ ἴδιος Βασιλεύς ἐγύρευε νά τόν τραβήξῃ εἰς τά Βασίλεια, νά τόν ἔχῃ πλησίον του. Αὐτός ὅμως ὡς φρόνιμος κατά ἀλήθειαν καί συνετός, εἰς ἄλλα ὑψηλότερα καί θειότερα ἐγύρισε τόν νοῦν, χαμαίζηλα καί ὀνείρων ἀπατηλότερα τά ἐπίγεια ταῦτα καλά στοχαζόμενος, καί ἐζήτει νά ἀναβῇ εἰς τόν Θεόν τόν αἴτιον καί χορηγόν τῆς ἀληθινῆς σοφίας, τό ὁποῖον ἀλλέως δέν ἦτον δυνατόν νά τό ἐπιτύχῃ πάρεξ μέ τό νά ἀφιερώσῃ εἰς αὐτόν τόν Θεόν ὅλον τόν ἑαυτόν του, καί νά ζήσῃ βίον τελειότερον, ἤτοι ἀσκητικώτερον.

Καί λοιπόν, φανερώνει τοῦτον τόν θεοφιλῆ σκοπόν, εἰς τήν μητέρα του, καί ὅτι ἀπό πολύν καιρόν ἔτρεφε τόν πόθον τοῦτον, καί τόν διάπυρον ἔρωτα· καί εὑρίσκει ὁμοίως καί ἐκείνην, ὁποῦ πρό πολλοῦ ταῦτα ἐφαντάζετο, καί εἰς αὐτά ἠρέσκετο. Λοιπόν παρευθύς ἡ

μήτηρ κράζει πλησίον της καί τά ἄλλα της παιδία, καί φανερώνει πρός αὐτούς τόν σκοπόν τοῦ μεγαλυτέρου των ἀδελφοῦ, καί τούς δοκιμάζει ὁποίαν γνώμην ἔχουσι καί οὗτοι πρός τά καλά· καί ὁμοίως καί ἐκεῖνος μεταχειριζόμενος πρός αὐτούς κάποιας παραινέσεις καί παρακινήσεις πρός τά καλά, τό ὀγλιγορώτερον τούς κατέπεισεν ὅλους, καί ὅλοι ἐφάνησαν πρόθυμοι, εἰς τόν ὅμοιον πόθον καί τήν τοῦ κόσμου ἀποφυγήν. Ὅθεν καί διαμοιράζων εὐαγγελικῶς τά ὑπάρχοντά των εἰς τούς πτωχούς, καί ἀφίνων τήν βασιλικήν ἀγάπην, καί τάς ἐκεῖθεν τιμάς, καί τούς κρότους τοῦ κόσμου, μέ ὅλην του τήν προθυμίαν, ἠκολούθησε τῷ Χριστῷ· καί τήν μέν μητέρα καί τάς ἀδελφάς ἔβαλεν εἰς γυναικεῖον Μοναστήριον· τούς δέ ἀδελφούς δύω ὄντας, ἐπῆρεν πλησίον του, καί ἐπῆγεν εἰς τό Ἅγιον Ὄρος, ἤτοι εἰς τόν Ἄθωνα. Ἀλλά τούς ἀδελφούς κατά τό παρόν τούς κατέπεισε νά μένουν εἰς ἄλλας Μονάς, ἴσως διότι ὁ καιρός δέν τό ἐσυγχώρει νά μένουν ὁμοῦ καί οἱ τρεῖς.

122

Αὐτός δέ ἐμβῆκεν εἰς ὑποταγήν, ἑνός θαυμασίου ἀνδρός, τοὔνομα Νικηφόρου, ὁ ὁποῖος ἔζη μόνῳ τῷ Θεῷ ἡσυχαστικῶς, κοντά εἰς τήν Ἱεράν Μονήν τοῦ Βατοπεδίου· ἀπό τόν ὁποῖον ἐδιδάχθη πᾶσαν ἀρετήν μέ τά ἔργα, ἐν ταπεινώσει ψυχῆς, καί ἐκεῖ ἐδέχθη μέ μυστικήν ἀποκάλυψιν, τήν ἀντίληψιν τῆς Πανάγνου Θεοτόκου, καί πρός πάντα ἄμαχον βοήθειαν. Τελευτήσαντος δέ ἐκείνου τοῦ θείου γέροντος, ἔρχεται εἰς τήν

περίφημον Λαύραν· διατρίψας δέ καί ἐκεῖ χρόνους ὀλίγους μέ σπουδήν μεγάλην, καί φρόνημα γεροντικόν, ὕστερον ἀναχωρεῖ καί ἐκεῖθεν, καί τήν ἐρημίαν ἀσπάζεται. Προσθέτων δέ πάντοτε πόθον εἰς τόν πόθον, καί ἐπιθυμῶν πάντοτε νά συζῇ μέ τόν Θεόν, ἔδωκε τόν ἑαυτόν του εἰς ἄκραν σκληραγωγίαν, καί τάς μέν αἰσθήσεις μέ προσοχήν μεγάλην ἀπό κάθε μέρος συμμαζώξας, κάθε καιρόν δέ προσευχῆς ἀφορμήν, καί μελέτην τῶν θείων μεταχειριζόμενος, καί τήν ζωήν του ὅλην ἄριστα καί ἐξαίρετα παιδαγωγήσας, ἐνίκησε κατά κράτος τούς πολέμους τῶν δαιμόνων, μέ τήν θείαν βοήθειαν. Καί μέ τάς ὁλονυκτίους στάσεις, καί μέ τάς πηγάς τῶν δακρύων του, καθαρίζων τελείως τήν ψυχήν του, σκεῦος ἐκλεκτόν, ἐχρημάτισε τοῦ παναγίου Πνεύματος, καί θεοφανείας εἶδε πολλάς· καί τό θαυμασιώτερον, ὅτι ἀπό τάς ἐπιδρομάς τῶν Ἰσμαηλιτῶν, ὁποῦ τότε ἔκαμνον εἰς τό Ἅγιον Ὄρος, ἠναγκάσθη νά ἀφήσῃ τήν ἡσυχίαν του, καί νά μεταβῇ εἰς τήν Θεσσαλονίκην, καί νά ἀνακατώνηται μέσα εἰς κάποιας πόλεις, ἀλλ᾽ ὅμως, ἀπό τήν ἀκρίβειαν τῆς πολιτείας του, παντελῶς δέν ἐξέκοπτε. Καθαρίσας λοιπόν, διά πολλῶν χρόνων, τό σῶμα καί τήν ψυχήν μέ ὅλην τήν τελειότητα, κατά θείαν νεῦσιν, ἐδέχθη καί τό μέγα τῆς Ἱερωσύνης χάρισμα, καί ἐπετέλει τήν Ἱεράν Μυσταγωγίαν, ὡσάν εἷς ἄϋλος, καί τρόπον τινά ἔξω γενόμενος ἀπό τόν ἑαυτόν του, ὥστε ὁποῦ καί μόνον φαινόμενος, ἐπροξέ-

νει κατάνυξιν εἰς τάς ψυχάς, ἐκείνων ὁποῦ τόν ἔβλεπον λειτουργοῦντα· καί διά νά εἰπῶ συντόμως, κατά ἀλήθειαν μέγας ἦτον, καί ἀπό τούς κατά Θεόν ζῶντας πνευματοφόρος ἐγνωρίζετο. Ἐγνωρίζετο δέ, πώς ἦτον τοιοῦτος, ἀκόμη καί ἀπό ἐκείνους ὁποῦ βλέπουν μόνο τά φαινόμενα, ἐπειδή ἔλαβε καί εἶχεν ἐξουσίαν καί δύναμιν κατά τῶν δαιμόνων, καί ἐλευθέρωνεν ἀπό τάς ἐδικάς των ἀπάτας καί μηχανάς, τούς ὑπ' αὐτῶν αἰχμαλωτισθέντας, καί ἀκόμη ἐγνωρίζετο, πώς ἦτον πνευματοφόρος, ἐπειδή τά πρῴην ἄκαρπα δένδρα, εἰς εὐκαρπίαν μετέβαλλε, καί τά μέλλοντα ἐπρόβλεπε, καί τά προέλεγε, καί ἁπλῶς ἦτον ἐστολισμένος καί μέ τά ἄλλα χαρίσματα καί τούς καρπούς τοῦ Θείου Πνεύματος. Ἀλλ' ἐπειδή, τό νά ἐνεργῇ μέν τίς τήν ἀρετήν, στέκει εἰς τήν ἐδικήν μας ἐξουσίαν, ἤγουν εἰς τό ἐδικόν μας αὐτεξούσιον, τό δέ νά πέσῃ εἰς πειρασμούς, δέν κρέμαται ἀπό τήν ἐξουσίαν μας, χωρίς δέ πειρασμῶν ὁ ἄνθρωπος τέλειος δέν γίνεται, οὔτε φανερώνεται ἡ πίστις ὁποῦ ἔχει πρός τόν Θεόν (ὅτι καθώς λέγουσιν οἱ σοφοί τά θεῖα, ὅταν ἡ πρᾶξις καί τό πάθος, καλῶς ἀνταμωθῶσι, τότε ὁ κατά Θεόν τελειοῦται ἄνθρωπος) διά τοῦτο καί ὁ μέγας οὗτος Γρηγόριος, ἐσυγχωρήθη ἀπό τόν Θεόν, νά πέσῃ εἰς πολλούς καί διαφόρους πειρασμούς, διά νά φανῇ τῷ ὄντι διά πάντων τέλειος. Καί λοιπόν, τά μετά ταῦτα, ποῖος νοῦς δύναται νά νοήσῃ; ποῖος λόγος θέλει δυνηθῇ νά φανερώσῃ τάς μη-

χανάς τοῦ δεινοῦ πολεμήτορος, τάς μεγαλυτέρας ἀπό τάς πρώτας, καί τάς διαβολάς καί συκοφαντίας τῶν νέων θεομάχων, καί ὅσα κακά καί θλίψεις ἀπό κάθε μέρος ἔπαθεν ἀπό αὐτούς, χρόνους ὁλοκλήρους εἰκοσιτρεῖς. Ὅτι τό Ἰταλικόν θηρίον ὁ κακός Βαρλαάμ, ὁποῦ διά κακόν τῶν Ῥωμαίων, ἦλθε κατ' ἐκείνας τάς ἡμέρας ἀπό τήν Καλαβρίαν, ὑπερηφανευόμενος, διά τήν ἔξω σοφίαν, καί φανταζόμενος μέ τήν ματαιότητα τῶν λογισμῶν του, πώς ἠξεύρει τά πάντα, πόλεμον κακόν ἐσήκωσε κατά τῆς Ἁγίας ἡμῶν Ἐκκλησίας, καί τῆς Ὀρθοδόξου ἡμῶν Πίστεως, καί ὅλων ἐκείνων ὁποῦ τήν ἐκράτουν ἀπαρασάλευτα. Ἐπειδή τήν κοινήν χάριν τοῦ Πατρός καί τοῦ Υἱοῦ, καί τοῦ Ἁγίου Πνεύματος, καί τό φῶς τοῦ μέλλοντος αἰῶνος, μέ τό ὁποῖον καί οἱ δίκαιοι ἔχουσι νά λάμψουν ὡς ὁ ἥλιος, καθώς καί ὁ Χριστός προλαβών τό ἔδειξεν εἰς τόν ἑαυτόν του ἐπάνω εἰς τό Ὄρος, καί ἁπλῶς εἰπεῖν, πᾶσαν δύναμιν καί ἐνέργειαν τῆς τρισυποστάτου Θεότητος, καί ὅτι δήποτε ἀπό τήν θείαν οὐσίαν εἶναι διάφορον, κτιστόν φρενοβλαβῶς ἐδογμάτισε, πώς εἶναι, καί ἐκείνους ὁποῦ ἐφρόνουν καί ἔλεγον ἄκτιστον ἐκεῖνο τό θειότατον φῶς, καί πᾶσαν δύναμιν καί ἐνέργειαν, ὡσάν ὁποῦ κανέν ἀπό τά θεῖα προσόντα φυσικῶς, δέν εἶναι ὑστερογενές καί μέ λόγους καί συγγράμματα διθεΐτας καί πολυθέους τούς ὠνόμαζε, καθώς οἱ Ἰουδαῖοι, καί ὁ Σαβέλλιος καί ὁ Ἄρειος, ὀνομάζουσιν ἡμᾶς. Διά ταῦτα λοιπόν

ὁ θεῖος Γρηγόριος, ὡς ὑπέρμαχος τῆς εὐσεβείας, καί περισσότερον ἀπό κάθε ἄλλον ὑπέρ αὐτῆς πολεμῶν, ἐκράχθη ἀπό τήν Ἐκκλησίαν εἰς τήν Κωνσταντινούπολιν. Ὅτι ὁ δυσσεβής Βαρλαάμ, μήν ὑποφέρων εἰς τήν Θεσσαλονίκην τούς ἐλέγχους τοῦ σοφοῦ Γρηγορίου, ἀναβάς εἰς τήν Βασιλεύουσαν, ἔπλασε συκοφαντίας κατ' αὐτοῦ πολλάς καί φοβεράς, διθεΐτην καί πολύθεον αὐτόν ὀνομάζων, καί ἄλλα ὁμοίως ἀτοπώτατα. Ἐκράχθη λοιπόν, ὡς ὑπεύθυνος, ὁ ἀθωότατος καί εὐσεβέστατος· καί λοιπόν βασιλεύοντος Ἀνδρονίκου τοῦ Τετάρτου τῶν Παλαιολόγων, καί θερμοῦ προστάτου τῆς εὐσεβείας, συνεκροτήθη Σύνοδος Ἱερά, εἰς τήν ὁποίαν ὁ Βαρλαάμ ἦλθε, καί ἐπαῤῥησιάσθησαν τά κακόδοξά του δόγματα, καί αἱ κατά τῶν εὐσεβῶν κατηγορίαι. Ἀλλά θείῳ κινηθείς Πνεύματι, ὁ μέγας Γρηγόριος, καί δύναμιν ἄμαχον λαβών ἄνωθεν, ἔφραξε τό στόμα ἐκεῖνο ὁποῦ ἠνοίχθη κατά τοῦ Θεοῦ καί τῶν Ἁγίων αὐτοῦ, καί τελείως κατῄσχυνε τόν ὑπερήφανον, καί λόγοις καί συγγράμμασι πυρίνοις, τάς φρυγανώδεις αὐτοῦ αἱρέσεις κατετέφρωσε. Διά τοῦτο καί μή δυνηθείς νά ὑπομείνῃ τήν καταισχύνην ὁποῦ ἔπαθεν ὁ τῆς εὐσεβείας πολέμιος, ἔφυγεν εἰς τούς Λατίνους, ἀπό τούς ὁποίους καί ἦλθε. Διάδοχος τοῦ Βαρλαάμ ἐστάθη κάποιος Γρηγόριος Ἀκίνδυνος ἐπονομαζόμενος, καί μέ ὅλον ὁποῦ ἦτον πρότερον φίλος τοῦ θείου Γρηγορίου, ἀλλά καί τόν Ἀκίνδυνον, μέ ὅλον ὁποῦ ἀποσκεπαστά ἐφρόνει τά

τοῦ αἱρεσιάρχου Βαρλαάμ, καί τοῦτον λέγω συνοδικῶς τόν ἐπαῤῥησίασε Βαρλααμίτην, καί τά συγγράμματά του μέ λόγους ἀντιῤῥητικούς τά διέσπασε, καί ὡσάν τῆς ἀράχνης τά ὑφάσματα τά διέλυσε. Διά τοῦτο καί ἀπό ἐκεῖ ὁποῦ ἦτον φίλος τοῦ Ἁγίου, ὕστερον ἔγινεν ἐχθρός πιστός τε καί ἄσπονδος. Διά ταῦτα καί ἀπό σφοδράν παρακίνησιν τῆς Ἱερᾶς Συνόδου, καί βίαν τοῦ βασιλέως Ἰωάννου τοῦ Κατακουζηνοῦ, καί προτήτερα καί περισσότερα ἀπό ὅλους, εἰς τήν θείαν ψῆφον πεισθείς ὁ Γρηγόριος, ἐπί τόν Ἀρχιερατικόν ἀνάγεται θρόνον, καί ποιμήν ἄξιος γίνεται, τῆς Θεσσαλονικέων Ἐκκλησίας. Γενόμενος δέ Ἀρχιερεύς, δέν ἐστοχάσθη, πώς ἔλαβεν ἐξουσίαν, διά νά δοθῇ εἰς τρυφάς καί ἀναπαύσεις, ἄπαγε, ἀλλά μάλιστα κόπους ἐπρόσθεσεν εἰς τούς κόπους, φροντίδας ἐπάνω εἰς τάς φροντίδας ὑπέρ τῆς ἐκκλησίας, καί ἀγῶνας ἔκαμεν ὑπέρ τῆς Ὀρθοδόξου Πίστεως, πολύ περισσοτέρους καί μεγαλυτέρους ἀπό τούς προτέρους. Ἐπειδή τούς κακούς διαδόχους τοῦ Βαρλαάμ καί τοῦ Ἀκινδύνου, οἱ ὁποῖοι ὕστερον ἀνεφάνησαν, καί πολλοί χαλεποί, καί κακῶν θηρίων γεννήματα, ὅλους ἐκείνους, καί τά κακά αὐτῶν δόγματα καί συγγράμματα, ὄχι μίαν φοράν, ἤ δύω, ἤ τρεῖς, ἀλλά πολλάκις, καί διά πολλῶν διαλέξεων, ὄχι ἐνώπιον ἑνός μόνου Βασιλέως, ἤ ἑνός μόνου Πατριάρχου, ἀλλ᾽ ἐνώπιον τριῶν Αὐτοκρατόρων, ὁποῦ κατόπιν εἷς ἀπό τόν ἄλλον ἐβασίλευσαν, καί ὁμοίως ἐνώπιον τριῶν Πατρι-

αρχῶν καί Συνόδων ὄχι ὀλίγων, μέ λόγους καί συγγράμματα θεόπνευστα, τά ἀνέτρεψε, καί μέχρι τέλους κατά κράτος τούς ἐνίκησεν, ἀλλά καί μερικοί ἐξ αὐτῶν, τήν θείαν δίκην μή συλλογιζόμενοι, ἔμειναν ἀμετάβλητοι· καί παράξενον δέν εἶναι, ὅτι καί ὅλων τῶν παλαιῶν αἱρέσεων, μένουσι καί τήν σήμερον κακά λείψανα, ἀκόλαστον γλῶσσαν κινοῦντες, κατά τῶν θείων ἐκείνων Ἀνδρῶν, ὁποῦ τούς κατετρόπωσαν, καί βεβαιώνει μου τόν λόγον πρό πάντων, τό πάντολμον τῶν Ἰουδαίων γένος, οἱ ὁποῖοι μέχρι καί νῦν, ἔχουσι τήν λύσσαν κατά τοῦ Ἰησοῦ Χριστοῦ. Τοιαῦτα μέν καί τοσαῦτα μέ βραχυλογίαν, τά τοῦ μεγάλου Γρηγορίου κατά τῶν δυσσεβῶν αἱρετικῶν ἐστάθησαν τρόπαια· ὁ δέ Θεός τρόποις ἀπορρήτοις, πέμπει τοῦτον καί εἰς τήν Ἀνατολήν Διδάσκαλον· πώς δέ ἡ ἀποστολή αὕτη γέγονεν, ἄξιον καί διηγήσασθαι. Εἰς τήν Κωνσταντινούπολιν, ἐστέλλετο ἀπό τήν Θεσσαλονίκην μέ σχῆμα πρέσβεως, διά νά εἰρηνεύσῃ τούς Βασιλεῖς γαμβρόν καί πενθερόν, ὁποῦ ἀναμεταξύ των ἐμάχοντο· πηγαίνων δέ κατά τήν Καλλίπολιν, ἐπιάσθη ἀπό τούς Ἀγαρηνούς, καί φέρεται αἰχμάλωτος εἰς τήν Ἀνατολήν· καί κρατεῖται ἐκεῖ ὁλόκληρον χρόνον, καί σύρνεται ἀπό τόπους εἰς τόπους, καί ἀπό πόλεις εἰς πόλεις, καί ὡς Ἀθλητής καί ὡς διδάσκαλος τέλειος, διδάσκων ἀφόβως τό Εὐαγγέλιον τοῦ Χριστοῦ· καί τούς μέν καλῶς ἑστώτας, περισσότερον τούς ἐστερέωνε, καί τούς παρεκίνει νά μέ-

νουν ἀκλόνητοι εἰς τήν πίστιν, τούς δέ κλονουμένους, καί κάποιας ἀπορίας καί ζητήσεις προβάλλοντας, διά τά τότε γενόμενα, ἤγουν διά τήν παράδοξον προχώρησιν καί πλατυσμόν, τοῦ ἀσεβεστάτου ἔθνους τῶν Ἀγαρηνῶν, θεοσόφως τούς ἐπεστήριζε, κάνων ἀρκετήν τήν λύσιν καί τήν θεραπείαν, εἰς ἐκεῖνα ὁποῦ ἔλεγον, ἀποροῦντες εἰς τά τοῦ Θεοῦ κρίματα. Μέ τούς ἀπίστους δέ, καί μέ ἐκείνους ὁποῦ ἀθλίως ἐξεκόπησαν ἀπό τούς χριστιανούς, καί μέ ἐκείνους ἔγιναν τό ἕν, καί περιέπαιζον τά χριστιανικά δόγματα, παῤῥησίᾳ πολλάκις διελέγετο, περί τῆς ἐνσάρκου οἰκονομίας, καί περί τῆς προσκυνήσεως τοῦ Τιμίου Σταυροῦ, καί τῶν σεβασμίων Εἰκόνων· καί πρός τούτοις περί τοῦ Μωάμεθ, καί περί ἄλλων πολλῶν ζητημάτων, ὁποῦ ἐκεῖνοι προέβαλλον. Καί ἄλλοι μέν τόν ἐθαύμαζον, ἄλλοι δέ κατ' αὐτοῦ ἐμαίνοντο, καί χεῖρας ἐσήκωναν, οἱ ὁποῖοι καί ἤθελον τόν τελειώσει μαρτυρικῶς, ἀνίσως δέν τούς ἐμπόδιζεν ἡ ἐλπίς τῆς ἐξαγοράσεως τοῦ ἀνδρός· καί τοῦτο οἰκονομία τῆς θείας προνοίας, διά τήν ἐσομένην ὑπ' αὐτοῦ τῆς Ἐκκλησίας ὠφέλειαν· τό ὁποῖον καί ἔγινεν, ἤγουν ἠλευθερώθη ἀπό τινας φιλοχρίστους, καί ἐπανέστρεψεν εἰς τήν ποίμνην του Μάρτυς ἀναίμακτος, καί κοντά εἰς τά ἄλλα του τά πολλά καί τά μεγάλα χαρίσματα ὁποῦ εἶχε, κατεκοσμήθη καί μέ τά στίγματα τοῦ Χριστοῦ. Διά νά δείξωμεν δέ καί κάποια ἀπό ἐκεῖνα ὁποῦ κατ' ἐξαίρετον τόν ἐχαρακτήριζον, αὐτά

τά ἀκόλουθα ἦσαν ἐκείνου τά ἐξαίρετα· μία ὑπερβολική πρᾳότης, ὅταν ὁ λόγος δέν ἦτον περί Θεοῦ καί θείων· ὅτι τότε ἐγίνετο καί κατά πολλά μαχητής· μία τελεία ἀρνησικακία καί ἀνεξικακία· μία ἄκρα προθυμία, εἰς τό νά ἀνταμείβῃ, κατά τό δυνατόν, μέ ἀγαθά, ὅσους πρός αὐτόν κατά τι ἐφάνησαν κακοί· μία στερεά ἀποστροφή πρός τάς κατηγορίας τῶν ἄλλων· μία μεγάλη καρτερία καί μεγαλοψυχία πρός τά ἐπερχόμενα δεινά· μία τελεία ἀποστροφή πάσης ἡδονῆς καί κενοδοξίας· μία ἐσχάτη εὐτέλεια καί ἀπεριττότης, εἰς ὅλας τάς χρείας τοῦ σώματος· καί ἐπάνω εἰς ὅλα πάντοτε ἐφαίνετο καί ἦτον σύνους, καί προσεκτικός, καί ἀδιάχυτος· εἰς τά ὁποῖα ἠκολούθει, τό νά μήν εἶναι σχεδόν ποτέ στυγνοί καί ἄδειοι οἱ ὀφθαλμοί του ἀπό δάκρυα, ἀλλά πάντα ἔῤῥεον, κατά τάς τῶν ὑδάτων πηγάς. Λοιπόν οὕτως, ἀπ' ἀρχῆς μέχρι τέλους, κατά παθῶν καί δαιμόνων, ἀθλητικῶς ἀγωνισάμενος, καί μακράν ἀπό τήν ἐκκλησίαν τοῦ Χριστοῦ, τούς αἱρετικούς διώξας,
130
καί τήν ὀρθόδοξον πίστιν, λόγοις τε καί συγγράμμασι καταλαμπρύνας, καί τρόπον τινά, δι' αὐτῶν πᾶσαν θεόπνευστον γραφήν ἐπισφραγίσας, εἰς τρόπον ὅτι ἡ ζωή καί ὁ λόγος ἐκείνου, ἔγινεν ὡσάν εἷς ἐπίλογος, καί σφραγίς τοῦ βίου καί τῶν λόγων τῶν ἁγίων, εἰς τήν ὑπερκόσμιον μετετέθη ζωήν, ἀφ' οὗ χρόνους δεκατρεῖς, ἀποστολικῶς καί θεαρέστως τό λογικόν του ποίμνιον ἐποίμανε, ζήσας χρόνους ἑξήκοντα καί τρεῖς· καί τό

μέν πνεῦμα εἰς χεῖρας Θεοῦ, παρέδωκε· τό δέ σῶμα, τό ὁποῖον εἰς τό τέλος παραδόξως ἐλαμπρύνθη καί ἐδοξάσθη, εἰς τήν ποίμνην του ἀφῆκεν, ὡσάν μίαν κληρονομίαν καί θησαυρόν ὑπέρτιμον· ὅτι καθεκάστην εὐεργετεῖ μέ θαύματα, τούς μετά πίστεως προσερχομένους, καί νόσων διαφόρων ἀπαλλαγήν χαρίζεται· ἐκ τῶν ὁποίων πάμπολλα διηγεῖται ἡ ἱστορία τῆς ἁγίας του ζωῆς. Ταῖς αὐτοῦ πρεσβείαις ὁ Θεός ἐλέησον, καί σῶσον ἡμᾶς. Ἀμήν.



ΚΥΡΙΑΚΗ Γ΄ ΕΒΔΟΜΑΔΟΣ ΝΗΣΤΕΙΩΝ
(ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τρίτῃ τῶν νηστειῶν, τήν προσκύνησιν ἑορτάζομεν τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ.

Α΄

Ἐπειδή διά τῆς τεσσαρακονθημέρου νηστείας τρόπον τινά καί ἡμεῖς σταυρούμεθα, νεκρούμενοι ἀπό τῶν παθῶν, πικρίας τε αἴσθησιν ἔχομεν, ἀκηδιῶντες καί καταπίπτοντες, προτίθεται ὁ τίμιος καί ζωοποιός Σταυρός, ὡσανεί ἀναψύχων καί ὑποστηρίζων ἡμᾶς καί ὑπομιμνήσκων ἡμᾶς τοῦ πάθους τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καί παραμυθούμενος· εἰ ὁ Θεός ἡμῶν δι' ἡμᾶς ἐσταύρωται, πόσον χρή ἡμᾶς δι' αὐτόν πράττειν; κουφίζων τε τούς πόνους ἡμῶν τῇ παραθέσει τῶν δεσποτικῶν θλίψεων καί τῇ ὑπομνήσει καί ἐλπίδι τῆς διά τοῦ Σταυροῦ δόξης. Ὡς γάρ ὁ Σωτήρ ἡμῶν, ἐπί τόν Σταυρόν ἀναβάς, ἐδοξάσθη διά τῆς ἀτίμου περιαγωγῆς καί τοῦ πικρασμοῦ, οὕτω δεῖ καί ἡμᾶς πράσσειν, ἵνα καί συνδοξασθῶμεν αὐτῷ, εἰ καί τι τέως πάσχομεν ἀηδές. Καί ἄλλως· καθάπερ οἱ

τραχεῖαν καί μακράν ὁδόν διανύοντες καί τῷ καμάτῳ κεκμηκότες, εἴ που δένδρον εὐσκιόφυλλον εὕρωσι, μικρόν καθίσαντες ἀναπαύονται, καί ὡσανεί νεαροί γενόμενοι, τό λοιπόν τῆς ὁδοῦ διανύουσιν, οὕτω καί νῦν εἰς τόν τῆς νηστείας καιρόν καί τήν ἐπίπονον ὁδόν καί τόν δίαυλον ἐνεφυτεύθη μέσον παρά τῶν ἁγίων πατέρων ὁ ζωηφόρος Σταυρός, ἄνεσιν καί ἀναψυχήν ἡμῖν χορηγῶν, εὐσταλεῖς τε καί κούφους πρός τόν ἑξῆς κάματον τούς κεκοπιακότας παρασκευάζων. Ἤ ὥσπερ ἔστιν ἐπί βασιλέως παρουσίᾳ, προπορεύονται τά ἐκείνου σημεῖα καί σκῆπτρα, εἶτα καί αὐτός παραγίνεται, χαίρων ἐπί τῇ νίκῃ καί ἀγαλλιώμενος, συνευφραίνεται ἅμα καί τό ὑπήκοον, οὕτω καί ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, μέλλων ὅσον οὔπω τό κατά τοῦ θανάτου ἐνδείξασθαι τρόπαιον καί μετά δόξης προελθεῖν διά τῆς ἀναστασίμου ἡμέρας, προέπεμψε τό σκῆπτρον αὐτοῦ, τήν βασιλικήν σημαίαν, τόν ζωοποιόν Σταυρόν, περιχαρείας καί ἀναψυχῆς ἡμᾶς ὅ,τι πλείστης ἐμπλήσαντα, καί παρασκευάζοντα ἡμᾶς ἑτοίμους γενέσθαι καί αὐτόν ὅσον οὔπω τόν Βασιλέα εἰσδέξασθαι καί ἀνευφημῆσαι, περιφανῶς θριαμβεύσοντα.

Ἐν μέσῃ δέ τῆς ἁγίας Τεσσαρακοστῆς ἑβδομάδι, ὅτι τῇ Μεῤῥᾷ πηγῇ ἔοικεν ἡ ἁγία Τεσσαρακοστή διά τήν συντριβήν καί τήν ἐνοῦσαν ἡμῖν ἀπό τῆς νηστείας πικρίαν καί ἀκηδίαν. Ὥσπερ οὖν ἐν ἐκείνῃ μέσῃ ὁ θεῖος Μωϋσῆς τό ξύλον ἐνέβαλε καί ἐγλύκανεν αὐτήν, οὕτω καί ὁ διαγαγών ἡμᾶς Θεός τῆς νοητῆς Ἐρυθρᾶς

καί τοῦ φαραώ τῷ ζωοποιῷ ξύλῳ τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ γλυκαίνει τήν ἀπό τῆς Τεσσαρακονθημέρου διά τῆς νηστείας πικρίαν, καί παραμυθούμενος ἡμᾶς ὡς ἐν ἐρήμῳ διάγοντας, ἕως οὗ πρός τήν νοητήν Ἱερουσαλήμ ἐπαναγάγῃ διά τῆς ἑαυτοῦ ἀναστάσεως. Ἤ, ἐπειδή ὁ Σταυρός Ξύλον ζωῆς λέγεται καί ἔστιν, ἐκεῖνο δέ τό ξύλον ἐν μέσῳ τοῦ παραδείσου τῆς Ἐδέμ πεφυτευμένον ἐτύγχανεν, ἁρμοζόντως καί οἱ θειότατοι πατέρες τό σταυρικόν Ξύλον ἐν μέσῳ τῆς ἁγίας Τεσσαρακοστῆς αὐτό κατεφύτευσαν, ὁμοῦ μέν καί τῆς τοῦ Ἀδάμ λιχνείας ὑπομιμνήσκοντες, ἅμα δέ καί τήν ἐκείνου διά τοῦ παρόντος Ξύλου ἀναίρεσιν διαγράφοντες· τούτου γάρ γευόμενοι, οὐ μᾶλλον ἀποθνήσκομεν, ἀλλά καί ζωογονούμεθα.

Τῇ αὐτοῦ δυνάμει, Χριστέ ὁ Θεός, καί ἡμᾶς τῶν τοῦ πονηροῦ διαφύλαξον ἐπηρειῶν, καί τά θεῖά σου πάθη καί τήν ζωηφόρον ἀνάστασιν προσκυνῆσαι ἀξίωσον, τό τεσσαρακονθήμερον εὐμαρῶς διανύσαντας στάδιον, καί ἐλέησον ἡμᾶς ὡς μόνος ἀγαθός καί φιλάνθρωπος.

Δεῖ εἰδέναι ὅτι, ἐάν συμπέσῃ ἡ παροῦσα Κυριακή εἰς τήν λ΄ τοῦ μηνός Μαρτίου, ὡς ἑορταζομένου κατά ταύτην τήν ἡμέραν τοῦ αὐτοῦ ὁσίου, λέγεται μόνον τό ἐν τῷ Μηναίῳ συναξάριον τοῦ αὐτοῦ καί καταλιμπάνεται τό ἑπόμενον, ὅν ταὐτό.

Β΄

Κατά τήν τρίτην ταύτην Κυριακήν τῶν Ἁγίων Νηστειῶν, ἑορτάζομεν τήν προσκύνησιν τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ, διά τήν ἀκόλουθον ταύτην αἰτίαν· ὅτι, ἐπειδή τρόπον τινά καί ἡμεῖς μέ τήν τεσσαρακονθήμερον Νηστείαν σταυρούμεθα, καί ἀπό τά πάθη νεκρούμεθα, καί αἴσθησιν πικρίας λαμβάνομεν, μέ τό νά ἀκηδιῶμεν, καί καταπίπτωμεν, διά τοῦτο προτίθεται ὁ τίμιος καί ζωοποιός Σταυρός, τρόπον τινά πρός ἀναψυχήν, καί ὑποστηριγμόν ἡμῶν, καί ἀνάμνησιν τοῦ πάθους τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καί τρόπον τινά παραμυθούμενος, καί λέγων, ὅτι ἀνίσως ὁ Χριστός Θεός ὤν, σάρκα λαβών δι' ἡμᾶς ἐσταυρώθη, πόσον πρέπει, ἡμεῖς δι' αὐτόν νά πράττωμεν; καί οὕτω μέ τήν σύγκρισιν τῶν δεσποτικῶν θλίψεων, καί μέ τήν ὑπόμνησιν τῶν ἐκείνου παθημάτων, καί μέ τήν ἐλπίδα τῆς δόξης, τῆς διά τοῦ Σταυροῦ, ἐλαφρύνει τούς ἀπό τήν νηστείαν κόπους μας· διότι καθώς ὁ Σωτήρ ἡμῶν, εἰς τόν Σταυρόν ἀναβάς, ἐδοξάσθη διά τῆς ἀτίμου περιαγωγῆς, καί τοῦ πικρασμοῦ, οὕτω καί ἡμεῖς πρέπει νά πράττωμεν, διά νά συνδοξασθῶμεν μέ αὐτόν, ἀνίσως καί ἡμεῖς κατά τό παρόν, κάποιόν τι ἀηδές πάσχομεν. Καί κατ' ἄλλον τρόπον ἀκόμη, κάμνομεν σήμερον τήν προσκύνησιν τοῦ τιμίου Σταυροῦ· ὅτι καθώς ἐκεῖνοι ὁποῦ περιπατοῦν κανένα δρόμον τραχύν καί μακρόν, καί ἀπό τόν κόπον ἀποκάνουσιν, ἄν τύχῃ νά εὕρωσιν ἔμπροσθέν των κανέν δένδρον καλόν νά κάνῃ

σκιάν καλήν, καθίζουσιν ὑποκάτω εἰς ἐκεῖνο τό δένδρον πολύ καί ἀναπαύονται, καί οὕτω λαμβάνωντες ἀναψυχήν, τρόπον τινά ὡσάν νέοι σηκώνονται, καί τελειώνουσι καί τόν ἐπίλοιπον δρόμον των· οὕτω καί ἐδῶ εἰς τόν καιρόν τῆς νηστείας, καί τόν κοπιαστικόν αὐτῆς δρόμον, ἐφυτεύθη τρόπον τινά εἰς τό μέσον παρά τῶν θείων Πατέρων ὁ ζωηφόρος Σταυρός, ἄνεσιν καί ἀναψυχήν φέρων εἰς ἡμᾶς, καί πρός τούς ἐπιλοίπους κόπους ἐλαφρούς καί εὐκολονικήτους τούς κοπιῶντας ἐργαζόμενος· ἤ καί κατά ἄλλον τρόπον, καθώς ὅταν μέλλῃ νά ὑπάγῃ Βασιλεύς εἰς καμμίαν πόλιν, ἤ τόπον προπορεύονται αἱ σημαῖαι, καί τά σκῆπτρα, καί μετά ταῦτα ἔρχεται καί ὁ Βασιλεύς νικητής καί θριαμβευτής· οὕτω καί ὁ Κύριος ἡμῶν Ἰησοῦς, ἐπειδή μέλλει, ὕστερα ἀπό ὀλίγον νά δείξῃ εἰς ἡμᾶς τήν κατά τοῦ θανάτου νίκην, καί νά παῤῥησιασθῇ δεδοξασμένος εἰς τήν ἡμέραν τῆς Ἀναστάσεως, διά τοῦτο ἔστειλε προτήτερα τό σκῆπτρον αὐτοῦ, τήν βασιλικήν σημαίαν, τόν ζωοποιόν, λέγω, Σταυρόν, ὅστις γεμίζει τάς καρδίας ἡμῶν ἀπό χαράν, καί ἀναψυχήν, καί ἑτοίμους μᾶς κάνει, μετ' ὀλίγον νά ὑποδεχθῶμεν καί αὐτόν τόν Βασιλέα, καί νά τόν ἀνευφημήσωμεν ὡς λαμπρόν θριαμβευτήν. Ἐν τῇ μέσῃ δέ τῆς Ἁγίας Τεσσαρακοστῆς, παῤῥησιάζεται τό τίμιον ξύλον, ὅτι ἡ Ἁγία Τεσσαρακοστή ὁμοιάζει μέ τήν πικράν πηγήν τῆς Μερᾶς, διά τήν συντριβήν τοῦ σώματος, καί διά τήν πικρίαν καί ἀκηδίαν, ὁποῦ προέρχεται ἀπό τήν νηστείαν. Καθώς

λοιπόν μέσα εἰς ἐκείνην, ὁ Προφήτης Μωϋσῆς ἔβαλε τό ξύλον ὁποῦ τοῦ ἔδειξεν ὁ Θεός, καί τήν ἐγλύκανε, οὕτω καί ὁ Θεός ὁποῦ διεπέρασεν ἡμᾶς, ἀπό τήν νοητήν ἐρυθράν, καί τόν νοητόν Φαραώ, μέ τό ζωοποιόν ξύλον τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ, γλυκαίνει τήν ἀπό τῆς νηστείας πικρίαν, καί παραμυθεῖται ἡμᾶς, τρόπον τινά ὡσάν εἰς τήν ἔρημον ὢν ἕως νά μᾶς φέρῃ εἰς τήν νοητήν Ἱερουσαλήμ, μέ τό μέσον τῆς Ἁγίας του Ἀναστάσεως. Ἀκόμη καί κατά ἄλλον τρόπον δυνάμεθα νά νοήσωμεν τήν ὑπόθεσιν· ὅτι, ἐπειδή ὁ Σταυρός ξύλον ζωῆς λέγεται, καί εἶναι, ἐκεῖνο δέ τό γραφικόν ξύλον, εἰς τό μέσον τοῦ παραδείσου τῆς Ἐδέμ ἦτον πεφυτευμένον, ἁρμοδίως καί οἱ θειότατοι Πατέρες τό τίμιον ξύλον τοῦ Σταυροῦ, τό κατά τήν ἀλήθειαν ξύλον ζωῆς, εἰς τό μέσον τῆς Ἁγίας Τεσσαρακοστῆς κατεφύτευσαν· ἕν μέν τήν λαιμαργίαν τοῦ Ἀδάμ ἀναθυμίζοντες, ἄλλο δέ καί τήν ἀναίρεσιν ἐκείνου, διά τοῦ παρόντος ξύλου δεικνύοντες. Ἐπειδή τό ξύλον τοῦτο τρώγοντες, ὄχι μόνον δέν ἀποθνήσκομεν
138 ἀλλά ζωοποιούμεθα.

Τῇ δυνάμει τοῦ Σταυροῦ σου, Χριστέ ὁ Θεός, διαφύλαξον καί ἡμᾶς ἀπό τούς πειρασμούς τοῦ ἐχθροῦ, καί ἀξίωσον ἡμᾶς, τά θεῖα σου Πάθη νά ἑορτάσωμεν, καί τήν ζωηφόρον σου Ἀνάστασιν νά προσκυνήσωμεν, ἀφ' οὗ διαπεράσωμεν καλῶς καί θεοφιλῶς τῆς Ἁγίας Τεσσαρακοστῆς, τό στάδιον, καί ἐλέησον ἡμᾶς, ὡς μόνος ἀγαθός καί φιλάνθρωπος.



ΚΥΡΙΑΚΗ Δ΄ ΕΒΔΟΜΑΔΟΣ ΝΗΣΤΕΙΩΝ

(ΙΩΑΝΝΟΥ ΤΗΣ ΚΛΙΜΑΚΟΣ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τετάρτῃ τῶν νηστειῶν, μνήμην ποιοῦμεν τοῦ ὁσίου πατρός ἡμῶν Ἰωάννου, τοῦ συγγραφέως τῆς Κλίμακος.

Α΄

Οὗτος ἐκκαίδεκα χρόνων ὑπάρχων καί ἀγχίνους ὢν τῇ ἐγκυκλίῳ σοφίᾳ, προσενήνοχεν ἑαυτόν τῷ Θεῷ θῦμα ἱερώτατον, ἐν τῷ Σιναίῳ ὄρει ἀνελθών. Εἶτα, μετά ἐννεακαίδεκα χρόνους, ἀναστάς ἔρχεται ἐπί τό τῆς ἡσυχίας στάδιον, ἀπό σημείων πέντε τοῦ Κυριακοῦ, τήν τῆς παλαίστρας μονήν κατειληφώς, Θωλάς ὄνομα τῷ χώρῳ, τεσσαράκοντα ἔτη διαπεράνας ἐν διακαεῖ ἔρωτι καί πυρί θείας ἀγάπης ἀεί πυρπολούμενος. Ἦσθιε μέν ἅπαντα, ἅ ἀμέμπτως ἐφεῖται τῷ ἐπαγγέλματι· βραχύ δέ λίαν καί οὐκ εἰς κόρον, καί ἐν τούτῳ, οἶμαι, τό τοῦ τύφου κέρας κλῶν πανσόφως. Ἀλλά τήν τῶν δακρύων ἐκείνου πηγήν τίς ἄν λόγος ἐξείποι; Ὕπνου δέ μετελάμβανεν, ὅσον τήν τοῦ νοός οὐσίαν τῇ ἀγρυπνίᾳ μή λυμήνασθαι· ὁ δέ δρόμος τῆς ζωῆς αὐτοῦ προσευχή ἦν ἀέναος καί πρός τόν Θεόν ἔρως ἀνείκαστος.

Οὗτος τοίνυν πᾶσαν ἀρετήν ἐξασκήσας καί καλῶς πολιτευσάμενος, καί μεγίστων θεωριῶν γενόμενος ἀνάπλεως, καί μαθητήν, ὑπνοῦντα ἔν τινι τόπῳ ὑποκάτω πέτρας μεγίστης καί μέλλοντα ὑπ' αὐτῆς, πιπτούσης ἤδη, ἀναιρεθῆναι καί εἰς μέρη διαιρεθῆναι, ἐν τῷ κελλίῳ ὢν καί Πνεύματι θείῳ γνούς, τοῦ τοιούτου θανάτου ἐῤῥύσατο, ἐπιφανείς αὐτῷ καθ' ὕπνους καί διαναστήσας οὗ ἔμελλεν ὑποστῆναι πτώματος.

Ἐν τούτῳ οὖν ἀρετῆς ἀφικόμενος καί ἡγούμενος τοῦ ἁγίου ὄρους Σινᾶ χρηματίσας, κατέλιπε τήν ἐπίκηρον ζωήν καί πρός τήν αἰώνιον μετετέθη ἀνάπαυσιν, πρότερον σχεδιάσας τήν πάνσοφον βίβλον τῶν θείων καί πνευματικῶν ἀναβάσεων, ἥτις καί Κλῖμαξ ἐπονομάζεται.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Εἴδησις

Τά συναξάρια τοῦ Τριῳδίου, συντεθέντα ὑπό Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου, διωρθώθησαν ἐπίσης καί ἐχωρίσθησαν εἰς μικροτέρας παραγράφους. Τά συναξάρια ὅμως τῆς δ΄ καί ε΄ Κυριακῆς τῶν Νηστειῶν δέν ἀνήκουν εἰς τόν Ξανθόπουλον, ἀλλά τό μέν τῆς δ΄ Κυριακῆς ἔχει ἀπαρτισθῆ ἐν μέρει μέν ἐκ τοῦ συναξαρίου τῆς λ΄ Μαρτίου, ἐν μέρει δέ ἐκ τοῦ ἐν τῷ Ὡρολογίῳ βίου τοῦ ὁσίου Ἰωάννου ὑπό Βαρθολομαίου τοῦ Κουτλουμουσιανοῦ, τό δέ τῆς ε΄ Κυριακῆς εἶναι ἐξ ὁλοκλήρου τοῦ Βαρθολομαίου. Πρός ἀποκατάστασιν παρέθεσα ἀμφότερα τά συναξάρια ὡς ἔχουν ἐν τοῖς Μηναίοις τῇ λ΄ Μαρτίου καί τῇ α΄ Ἀπριλίου, συμπληρώσας αὐτά διά τινῶν ἀναγκαίων παραγράφων ἐκ τῶν τοῦ Βαρθολομαίου.

Β΄

(Τό ἀντίστοιχο κείμενο λείπει).



ΠΕΜΠΤΗ ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΑΝΟΝΟΣ

Τῇ αὐτῇ ἡμέρᾳ, Πέμπτῃ τῆς πέμπτης ἑβδομάδος τῶν νηστειῶν, κατά τήν ἀρχαίαν παράδοσιν, ψάλλομεν τήν ἀκολουθίαν τοῦ μεγάλου καί κατανυκτικοῦ κανόνος.

Α΄

Τοῦτον τόν ὄντως μέγιστον τῶν κανόνων ἁπάντων ἀρίστως καί τεχνηέντως ἡρμόσατο καί συνέγραψεν ὁ ἐν ἁγίοις πατήρ ἡμῶν Ἀνδρέας ὁ ἀρχιεπίσκοπος Κρήτης, ὁ καί Ἱεροσολυμίτης ὀνομαζόμενος. Ὅς ὥρμητο μέν ἐκ Δαμασκοῦ· ἐπί τεσσαρεσκαιδεκάτῳ δέ ἔτει τῆς αὐτοῦ ἡλικίας, παιδευτηρίῳ γραμματικῆς ἐκδοθείς καί τήν ἐγκύκλιον παίδευσιν ἐξασκήσας, εἰς Ἱεροσόλυμα γεγονώς, τόν μοναστήν ὑπέρχεται βίον. Ὁσίως δέ καί θεοφιλῶς διάγων ἐν ἡσύχῳ καί ἀταράχῳ τῇ βιοτῇ, πολλά μέν καί ἄλλα συγγράμματα βιωφελῆ καταλείπει τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, λόγους τε καί κανόνας, μᾶλλον ἀδρότερος ἐν τοῖς πανηγυρικοῖς γενόμενός τε καί δεικνύμενος. Σύν πολλοῖς δέ ἄλλοις καί τόν παρόντα μέγαν κανόνα συνέταξε, κατάνυξιν ἄπειρον ἔχοντα· πᾶσαν γάρ Παλαιᾶς καί Νέας Διαθήκης ἱστορίαν ἐρανισάμενος καί

ἀθροίσας, τό παρόν ἡρμόσατο μέλος, ἀπό Ἀδάμ δηλαδή μέχρι καί αὐτῆς τῆς Χριστοῦ ἀναλήψεως καί τοῦ τῶν ἀποστόλων κηρύγματος. Προτρέπεται γοῦν διά τούτου πᾶσαν ψυχήν, ὅσα μέν ἀγαθά τῆς ἱστορίας ζηλοῦν καί μιμεῖσθαι πρός δύναμιν, ὅσα δέ τῶν φαύλων ἀποφεύγειν, καί ἀεί πρός Θεόν ἀνατρέχειν διά μετανοίας, διά δακρύων καί ἐξομολογήσεως καί τῆς ἄλλης δηλονότι εὐαρεστήσεως. Πλήν εἰς τοσοῦτον ἐστίν εὔρους καί ἐμμελής, ὡς καί αὐτήν τήν σκληροτέραν ψυχήν ἱκανός μαλάξαι καί πρός ἀνάληψιν ἀγαθοῦ διεγεῖραι, εἰ μόνον μετά συντετριμμένης καρδίας καί προσοχῆς ἀνηκούσης ψάλλοιτο. Ἐποίησε δέ τοῦτον, ὅτε καί ὁ πατριάρχης Ἱεροσολύμων, ὁ μέγας Σωφρόνιος, τόν τῆς Αἰγυπτίας Μαρίας βίον συνεγράψατο· κατάνυξιν γάρ καί οὗτος ὁ βίος προβέβληται ἄπειρον καί πολλήν τοῖς ἑπταικόσι καί ἁμαρτάνουσι παραμυθίαν, εἰ μόνον τῶν φαύλων ἀποστῆναι βούλοιντο.

Ἐτάχθησαν δέ κατά τήν παροῦσαν ἡμέραν ψάλλεσθαι καί ἀναγινώσκεσθαι δι' αἰτίαν τοιαύτην. Ἐπειδή γάρ πρός τό τέλος ἐγγίζει ἡ ἁγία Τεσσαρακοστή, ἵνα μή οἱ ἄνθρωποι, ῥάθυμοι γεγονότες, πρός τούς πνευματικούς ἀγῶνας ἀμελέστερον διατεθῶσι καί τοῦ σωφρονεῖν καθάπαξ ἐν πᾶσιν ἀπόσχοιντο, ὁ μέν μέγιστος Ἀνδρέας, οἷά τις ἀλείπτης, διά τῶν ἱστοριῶν τοῦ μεγάλου κανόνος, τῶν μεγάλων ἀνδρῶν λέγων τήν ἀρετήν καί τῶν φαύλων αὖθις τήν ἐκτροπήν, ὡς ἄν τις φαίη, γενναιοτέρους τούς κάμνοντας παρασκευάζει καί

ἀνδρικῶς τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. Ὁ δέ ἱερός Σωφρόνιος διά τοῦ ὑπερφυοῦς αὐτοῦ λόγου σώφρονας καί αὖθις εἶναι ποιεῖ καί πρός Θεόν διεγείρει καί μή καταπίπτειν μηδέ ἀπογινώσκειν, εἰ καί τέως τισίν ἑάλωσαν παραπτώμασιν. Ὅση γάρ ἡ τοῦ Θεοῦ φιλανθρωπία καί συμπάθεια τοῖς ὁλοψύχως ἐκ τῶν πρώην πταισμάτων ἐπιστρέφειν αἱρουμένοις ἡ κατά τήν Αἰγυπτίαν διήγησις παριστᾷ.

Λέγεται δέ μέγας κανών, ἴσως ἄν τις εἴποι, καί κατ᾽ αὐτάς τάς ἐννοίας καί τά ἐνθυμήματα· γόνιμος γάρ ἐστιν ὁ τούτου ποιητής, ἀρίστως αὐτά συντιθέμενος· καί ὅτι, τῶν λοιπῶν κανόνων ἀνά τριάκοντα καί μικρόν τι πρός τροπαρίων ἐχόντων, οὗτος εἰς διακόσια καί πεντήκοντα πρόεισιν, ἑνός ἑκάστου ἀῤῥητον ἀποστάζοντος ἡδονήν. Ἁρμοδίως ἄρα καί προσηκόντως ὁ μέγας οὗτος κανών καί μεγάλην κεκτημένος κατάνυξιν κἄν τῇ μεγάλῃ τῶν Τεσσαρακοστῶν κατατέτακται.

Τοῦτον τόν ἄριστον κανόνα καί μέγιστον καί τόν τῆς ὁσίας Μαρίας λόγον ὁ αὐτός πατήρ ἡμῶν Ἀνδρέας πρῶτος εἰς τήν Κωνσταντίνου κεκόμικεν, ὅτε πρός τοῦ πατριάρχου Ἱεροσολύμων Θεοδώρου ἐν τῇ ἕκτῃ Συνόδῳ σταλείς εἰς βοήθειαν παρεγένετο· τότε γάρ ἀρίστως κατά τῶν μονοθελητῶν ἀγωνισάμενος, ἔτι διατελῶν ἐν μονάζουσι, τῷ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας κλήρῳ συγκαταλέγεται· εἶτα διάκονος καί ὀρφανοτρόφος ἐν ταύτῃ καθίσταται καί μετά μικρόν

ἀρχιεπίσκοπος Κρήτης γενόμενος, ἐσύστερον, ἄγχιστά που πρός τῇ λεγομένῃ Ἱερισῷ καταντήσας ἐν Μυτιλήνῃ πρός Κύριον ἐκδημεῖ, ἀρκούντως τοῦ ἰδίου θρόνου ἐν μεθέξει γενόμενος.

Ταῖς του ἁγίου Ἀνδρέου πρεσβείαις, ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Β΄

Τῇ αὐτῇ ἡμέρᾳ, κατά τήν ἀρχαίαν παράδοσιν, ψάλλομεν καί τήν Ἀκολουθίαν τοῦ Μεγάλου Κανόνος· τόν ὁποῖον τοῦτον Μέγαν Κανόνα, ὁ ἐν Ἁγίοις Πατήρ ἡμῶν Ἀνδρέας ὁ Κρήτης, ἄριστα καί τεχνικώτατα ἐσύνθεσεν. Ὅστις ὁσίως καί θεοφιλῶς πολιτευόμενος, πολλά μέν καί ἄλλα συγγράμματα ψυχωφελέστατα, λόγους δηλαδή καί Κανόνας Πανηγυρικούς, εἰς τήν Ἐκκλησίαν ἄφισε τοῦ Θεοῦ, κοντά δέ εἰς ὅλα τά ἄλλα, καί τόν παρόντα Μέγαν Κανόνα ἐποίησεν· εἰς τόν ὁποῖον μέσα συνήθροισε, καί ἔβαλεν ὅλας τάς ἱστορίας τῆς Παλαιᾶς καί Νέας Διαθήκης, ἀρχίζων ἀπό Ἀδάμ, ἕως εἰς αὐτήν τήν Ἀνάληψιν τοῦ Χριστοῦ, καί τοῦ Ἀποστολικοῦ κηρύγματος, προσαρμόζων εἰς αὐτάς τό μέλος τοῦτο, μέ τό ὁποῖον τάς ψάλλωμεν. Παρακινεῖ λοιπόν μέ τοῦτον ὁ θεῖος Πατήρ κάθε ψυχήν, τάς μέν καλάς Ἱστορίας νά μιμῆται, ὅσον δύναται, τάς δέ φαύλας, ἤτοι τά κακά

διηγήματα νά τά ἀποφεύγῃ, καί πρός τόν Θεόν πάντοτε νά ἀνατρέχῃ διά μετανοίας, καί δακρύων, καί πάσης ἀγαθῆς πράξεως. Τόσον δέ ἐπιτήδεια συνήρμοσεν καί ἐμελούργησε τά θεῖα ταῦτα νοήματα, ὥστε ὁποῦ ἠμποροῦν νά μαλάξουν καί τήν πλέον σκληράν καρδίαν, καί νά παρακινήσουν εἰς κατόρθωσιν ἀρετῆς, μόνον ἀνίσως οἱ ψάλλοντες, ἤ ἀκούοντες βαίνουσιν ὀλίγην προσοχήν, καί μέ ταπείνωσιν ψυχῆς κατανοοῦσι τά ψαλλόμενα. Τοῦτον τόν Μέγαν Κανόνα ἔφερε πρῶτος εἰς τήν Κωνσταντινούπολιν, αὐτός οὗτος ὁ Ποιητής αὐτοῦ, ὅταν ὑπό Θεοδώρου Πατριάρχου Ἱεροσολύμων, ἔτι μοναχός ὤν, ἐστάλη διά νά εὑρεθῇ ἐκ προσώπου του εἰς τήν ἕκτην Σύνοδον, ὁποῦ τότε ἐκεῖ συνηθροίζετο κατά τῆς αἱρέσεως τῶν μονοθελητῶν. Ὁμοῦ δέ μέ τόν Μέγαν τοῦτον Κανόνα, ἔφερε καί τόν βίον τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας, τόν ὁποῖον προλαβών εἶχεν συγγράψει ὁ ἐν Ἁγίοις μέγας Πατήρ Σωφρόνιος ὁ Ἱεροσολύμων. Ἐπειδή λοιπόν οἱ μεταγενέστεροι θεῖοι Πατέρες, ἐγνώρισαν, ὅτι καί τά δύω ταῦτα εἴδη εἶναι ψυχωφελέστατα, διέταξαν, ὥστε κατ᾽ αὐτήν τήν ἡμέραν, καί ὁ Μέγας Κανών νά ψάλληται, καί ὁ θαυμάσιος βίος τῆς Ὁσίας Μαρίας νά ἀναγινώσκηται ὅτι καί ἐκεῖνος καί οὗτος δύνανται νά διαθερμάνουν καί νά διεγείρουν εἰς μετάνοιαν καί διόρθωσιν βίου τούς ῥαθυμοτέρους καί ἀμελεστέρους. Ὁ μέν γάρ θεῖος Ἀνδρέας, ὡσάν εἷς ἄριστος στρατηγός, μέ τάς Ἱστορίας τοῦ Μεγάλου Κανόνος, διηγούμενος τήν ἀρετήν τῶν μεγάλων Ἀνδρῶν, καί ἐκ τοῦ ἐναντίου, τῶν

φαύλων τήν ἐκτροπήν, γενναιοτέρους καταστήνει τούς ἀγωνιζομένους, καί τούς κάνει νά ἐπεκτείνωνται ἀνδρικῶς εἰς τά ἔμπροσθεν. Ὁ δέ Ἱερός Σωφρόνιος, μέ τήν διήγησιν τῆς ὑπερφύσιν πολιτείας τῆς Ὁσίας Μαρίας, καταστείνει μᾶλλον σώφρονας, καί πρός Θεόν διεγείρει, καί δέν ἀφίνει τούς ἀνθρώπους νά καταπίπτωσι καί νά ἀπελπίζωνται, ὡς ἄνθρωποι ἁμαρτάνοντες. Ὅση γάρ ἡ τοῦ Θεοῦ φιλανθρωπία, καί εὐσπλαγχνία, ἡ διήγησις τῆς Ὁσίας ταύτης παρίστησι. Λέγεται δέ Μέγας Κανών ἴσως καί διά τά νοήματα πολλά τε ὄντα καί ὑψηλά· ὅμως τό ἀληθέστερον εἶναι, διότι ὁ ἀριθμός τῶν τροπαρίων του, ἀναβαίνει εἰς διακόσια καί πεντήκοντα, ἀπό τά ὁποῖα καθ' ἕν ἡδονήν ἀποστάζει ἄῤῥητον. Ἁρμοδίως λοιπόν καί πρεπόντως ὁ Μέγας οὗτος Κανών, ὡσάν ὁποῦ μεγάλην κατάνυξιν δύναται νά προξενήσῃ, διωρίσθη νά ψάλληται καί εἰς τήν μεγάλην Τεσσαρακοστήν, καί μάλιστα πρός τό τέλος αὐτῆς, ὅταν οἱ ἄνθρωποι ἀκολούθως συνηθίζουσι νά ἀποκάνωσι. Λέγεται δέ καί περί τοῦ θείου τούτου Πατρός, ὅτι διατρίβων ἐν Κωνσταντινουπόλει, ἐτάχθη εἰς τόν Κλῆρον τῆς Ἐκκλησίας· καί πρῶτον μέν ἐχειροτονήθη Διάκονος, καί Ὀρφανοτρόφος ἐψηφίσθη· καί μετά μικρόν ἐγένετο καί τῆς Κρήτης Ἀρχιεπίσκοπος. Εἶτα κινήσας διά νά καταβῇ εἰς τήν Ἐπαρχίαν του, φθάσας εἰς Μυτιλήνην εἰς τήν πόλιν, τήν καλουμένην Ἐρισόν, ἐκεῖ πρός Κύριον ἐξεδήμησεν. Αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεός ἐλέησον ἡμᾶς.

ΣΑΒΒΑΤΟΝ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ ΥΜΝΟΥ

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ τῆς πέμπτης ἑβδομάδος τῶν νηστειῶν, ψάλλομεν τόν ἀκάθιστον ὕμνον εἰς τήν ὑπεραγίαν Θεοτόκον.

Α΄

Ἡρακλείου τήν αὐτοκράτορα Ῥωμαίοις ἀρχήν διέποντος, ὁ τῶν Περσῶν βασιλεύς Χοσρόης, ἰδών τά Ῥωμαίων ἄκρως ταπεινωθέντα παρά Φωκᾶ βασιλέως, τοῦ τυράννου, ἕνα τῶν σατραπῶν, Σάρβαρον ὄνομα, μετά χιλιάδων πλείστων στέλλει, πᾶσαν τήν Ἕω αὐτῷ ὑποποιήσασθαι. Ἔφθη γάρ καί πρότερον ὡσεί δέκα μυριάδας Χριστιανῶν διαφθείρας Χοσρόης, ἅτε τῶν Ἑβραίων αὐτούς ἐξωνουμένων καί ἀπολλύντων. Ὁ γοῦν ἀρχισατράπης Σάρβαρος, τήν Ἕω ληϊσάμενος ἅπασαν, ἔφθασεν ἄχρι καί αὐτῆς τῆς Χρυσουπόλεως, ἥ νῦν Σκουτάριον ἐπικέκληται. Ὁ τοίνυν βασιλεύς Ἡράκλειος, ἐν ἀπορίᾳ καταστάς δημοσίων χρημάτων, τά ἱερά τῶν Ἐκκλησιῶν εἰς κέρμα μετασκευασάμενος ἐπί ἀποδόσει μείζονι καί τελειοτέρᾳ, διά τοῦ Εὐξείνου μετά πλοίων τοῖς τῆς Περσίας μέρεσιν εἰσβαλών, ἀφανίζει αὐτήν, καί κατά κράτος ἡττᾶται τούτῳ ὁ Χοσ-

ρόης σύν τῇ λοιπῇ στρατιᾷ. Μετ' ὀλίγον δέ καί Σειρόης ὁ υἱός Χοσρόου, ἀποστάς τοῦ πατρός, τήν ἀρχήν ἑαυτῷ περιτίθησι, καί τόν πατέρα Χοσρόην ἀποκτείνας, τῷ βασιλεῖ Ἡρακλείῳ σπένδεται.

Χαγάνος γε μήν ὁ τῶν Μυσῶν καί Σκυθῶν ἀρχηγός, μαθών τόν βασιλέα διαπόντιον εἰς Πέρσας γενόμενον, τάς μετά Ῥωμαίων διαλύσας σπονδάς, στίφη μυριάριθμα ἐπαγόμενος, διά τῶν δυτικῶν εἰσβάλλει μερῶν εἰς τήν Κωνσταντίνου, κατά Θεοῦ βλασφήμους ἐκπέμπων φωνάς. Αὐτίκα τοίνυν ἡ μέν θάλασσα πλοίων, ἡ δέ γῆ πεζῶν καί ἱππέων ἀπείρων ἔμπλεως ἦν. Σέργιος δέ ὁ πατριάρχης πολλά τόν τῆς Κωνσταντίνου παρεκάλει λαόν μή καταπίπτειν, ἀλλά πᾶσαν τήν ἐλπίδα ἐκ ψυχῆς εἰς Θεόν ἀναφέρειν καί εἰς τήν αὐτοῦ Μητέρα τήν πανάχραντον Θεοτόκον. Ναί μήν καί Βῶνος ὁ πατρίκιος, ὁ τηνικαῦτα τήν πόλιν διέπων, τά ἀνήκοντα εἰς ἀποτροπήν τῶν πολεμίων παρεσκευάζετο· δεῖ γάρ μετά τῆς ἄνωθεν βοηθείας καί
148 ἡμᾶς τά προσήκοντα ἐνεργεῖν. Ὁ δέ πατριάρχης, τάς θείας εἰκόνας τῆς Θεομήτορος μετά παντός ἐπαγόμενος τοῦ πλήθους, περιήει τό τεῖχος ἄνωθεν, ἐντεῦθεν τό ἀσφαλές αὐτῶν ποριζόμενος.

Ὡς δέ ὁ μέν Σάρβαρος ἐξ Ἐφάς, Χαγάνος δ' ἀπό δυσμῶν πυρπολεῖν τά πέριξ τῆς πόλεως ἤρχοντο, ὁ πατριάρχης τήν ἀχειροποίητον τοῦ Χριστοῦ εἰκόνα καί τά τίμια καί ζωοποιά Ξύλα, προσέτι δέ καί τήν τιμίαν

Ἐσθῆτα τῆς Θεομήτορος ἐπιφερόμενος, διά τῶν τειχῶν περιήρχετο. Χαγάνος δέ ὁ Σκύθης διά τῶν χερσαίων τειχῶν προσβάλλει τῇ Κωνσταντίνου σύν πλήθει ἀπείρῳ, ἄκρως ἐξ ὅπλων ἠσφαλισμένων, καί τοσούτῳ, ὡς ἕνα Ῥωμαῖον πρός δέκα Σκύθας σαφῶς διαμάχεσθαι. Ἀλλά ἡ ἄμαχος Πρόμαχος, διά τῶν παρευρεθέντων ὀλίγων πάνυ στρατιωτῶν ἐν τῷ ταύτης ναῷ τῆς Πηγῆς, πλείστους αὐτῶν παραπώλεσε. Κἀντεῦθεν οἱ Ῥωμαῖοι ἀναθαῤῥήσαντές τε καί ἀνασκιρτήσαντες, ὑπό στρατηγῷ ἀμάχῳ τῇ Θεομήτορι αὐτούς ἀεί κατά κράτος ἐνίκων.

Βλέψαντες δέ καί πρός σπονδάς οἱ τῆς πόλεως, ἀπεκρούσθησαν. Ἀνεῖπε γάρ ὁ Χαγάνος· Μή ἀπατᾶσθε ἐπί τῷ Θεῷ, ᾧ πιστεύετε· πάντως γάρ αὔριον τήν πόλιν ὑμῶν καταλήψομαι. Οἱ δέ τῆς πόλεως διακούσαντες, χεῖρας ἔτεινον εἰς Θεόν. Συμφωνήσαντες οὖν Χαγάνος τε καί ὁ Σάρβαρος διά ξηρᾶς καί θαλάσσης προσβάλλουσι, διά μηχανημάτων τήν πόλιν ἑλεῖν προθυμούμενοι. Ἀλλά τοσοῦτον ὑπό τῶν Ῥωμαίων ἡττήθησαν, ὡς μηδέ ἱκανούς εἶναι τούς ζῶντας καίειν τούς τεθνηκότας. Τά δέ μονόξυλα ὁπλιτῶν πλήρη, διά τοῦ ἐπιλεγομένου Κέρατος κόλπου εἰς τόν ἐν Βλαχέρναις ναόν τῆς Θεομήτορος καταγόμενα, καταιγίδος αἰφνηδόν τῇ θαλάσσῃ ἐπεισπεσούσης ῥαγδαίας καί διαιρεσάσης ταύτην εἰς τμήματα, σύν τοῖς πλοίοις ἅπασι τῶν ἐχθρῶν διεφθάρη. Καί εἶδεν ἄν τις παράδοξον ἀριστούργημα τῆς Πανάγνου καί Θεομήτορος· πάντας γάρ παρά τό χεῖλος τῆς

θαλάσσης τό ἐν Βλαχέρναις ἐξέβρασεν. Ὁ δέ λαός, ὅσον τάχος τάς πύλας ἀναπετάσαντες, ἄρδην πάντας ἀπέκτειναν, καί παῖδες καί γυναῖκες κατ' αὐτῶν ἀνδριζόμενοι. Οἱ δέ ἀρχηγοί τούτων ὑπέστρεψαν κλαίοντες ἅμα καί ὀδυρόμενοι. Ὅ γε μήν θεοφιλής τῆς Κωνσταντίνου λαός, τῇ Θεομήτορι τήν χάριν ἀφοσιούμενοι, ὁλονύκτιον τόν ὕμνον καί ἀκάθιστον αὐτῇ ἐμελῴδησαν, ὡς ὑπέρ αὐτῶν ἀγρυπνησάσῃ καί ὑπερφυεῖ δυνάμει διαπραξαμένῃ τό κατά τῶν ἐχθρῶν τρόπαιον.

Ἔκτοτε οὖν εἰς μνείαν τοῦ τοσούτου καί ὑπερφυοῦς θαύματος ἡ Ἐκκλησία τήν τοιαύτην ἑορτήν παρέλαβε τῇ Μητρί ἀνατιθέναι τοῦ Θεοῦ τῷ παρόντι καιρῷ, ὅτι καί τό τρόπαιον τῇ Θεομήτορι γέγονεν. Ἀκάθιστον δέ ὠνόμασαν διά τό τότε οὕτω πρᾶξαι τόν τῆς πόλεως κλῆρόν τε καί λαόν ἅπαντα.

Μετά δέ παρέλευσιν χρόνων τριακονταέξ, ἐπί τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, οἱ Ἀγαρηνοί, ἄπειρον στρατιάν ἐπαγόμενοι, πάλιν τῇ Κωνσταντίνου
150 ἐπέθεντο, καί ἐπί ἑπτά ἔτεσι ταύτην πολιορκοῦνται, ὅτε καί ἐν τοῖς Κυζίκου παρεχείμαζον μέρεσι, πολλούς δέ τῶν οἰκείων διέφθειραν. Εἶτα ἀπειπόντες καί μετά τοῦ στόλου αὐτῶν ὑποστρέψαντες, κἄν τῷ Συλαίῳ γενόμενοι, τῇ θαλάσσῃ πάντες κατεποντίσθησαν προστασίᾳ τῆς Πανάγνου καί Θεομήτορος.

Ἀλλά καί τό τρίτον αὖθις ἐπί Λέοντος τοῦ Ἰσαύρου οἱ ἐξ Ἄγαρ, ὑπέρ πλείστας μυριάδας ἀριθμούμενοι,

πρῶτον μέν τήν τῶν Περσῶν ἀφανίζουσι βασιλείαν, εἶτα τήν Αἴγυπτον καί Λιβύην, ἐπιδραμόντες καί Ἰνδούς, Αἰθίοπάς τε καί Ἱσπανούς· ὕστερον καί κατ' αὐτῆς τῆς βασιλίδος τῶν πόλεων ἐπιστρατεύουσι, χίλια ὀκτακόσια πλοῖα ἐπιφερόμενοι. Κυκλώσαντες οὖν αὐτήν, ὡς αὐτίκα διαναρπάσοντες ἔμενον. Ὁ δέ τῆς πόλεως ἱερός λαός, τό σεπτόν Ξύλον τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ καί τήν σεβάσμιον εἰκόνα τῆς Θεομήτορος Ὁδηγητρίας ἐπαγόμενοι, τό τεῖχος περιεκύκλουν, σύν δάκρυσι τόν Θεόν ἱλεούμενοι. Δόξαν οὖν οὕτω τοῖς Ἀγαρηνοῖς, εἰς δύο διαιροῦνται μέρη· καί οἱ μέν κατά Βουλγάρων στρατεύουσι, καί πίπτουσιν ἐκεῖσε ὑπέρ μυριάδας δύο· οἱ δέ περιελείφθησαν τήν πόλιν ἑλεῖν. Κωλυθέντες δέ ὑπό τῆς ἁλύσεως, διηκούσης ἀπό τῶν Γαλάτου εἰς τά τείχη τῆς πόλεως, ἀναχθέντες περίπου τό λεγόμενον Σωσθένιον γίνονται, κἀκεῖ ἀνέμου βορέου καταῤῥαγέντος, τά πολλά τῶν πλοίων αὐτῶν διεῤῥάγη καί διεφθάρησαν· οἱ δέ περιλειφθέντες λιμῷ σφοδρῷ περιέπεσον, ὡς καί ἀνθρωπίνων σαρκῶν ἅψασθαι, κόπριά τε φυρᾶν καί ἐσθίειν. Εἶτα φυγόντες καί κατά τό Αἰγαῖον γενόμενοι πέλαγος, τά σκάφη αὐτῶν ἅπαντα καί ἑαυτούς τῷ τῆς θαλάσσης διδοῦσι βυθῷ· χάλαζα γάρ ῥαγδαία οὐρανόθεν καταπεσοῦσα καί βρασμόν κατά τῆς θαλάσσης ποιήσασα, τήν τῶν πλοίων πίσσαν διέλυσε, καί οὕτως ὁ ἀπειροπληθής ἐκεῖνος στόλος διώλετο, τριῶν μόνον εἰς ἀγγελίαν περιλειφθέντων.

Διά ταῦτα τοίνυν ἅπαντα τά ὑπερφυῆ θαυμάσια τῆς Πανάγνου καί Θεομήτορος τήν παροῦσαν ἑορτήν ἑορτάζομεν. Ἀκάθιστος δέ εἴρηται, διότι ὀρθοστάδην τότε πᾶς ὁ λαός κατά τήν νύκτα ἐκείνην τόν ὕμνον τῇ τοῦ Λόγου Μητρί ἔμελψαν· καί ὅτι ἐν πᾶσι τοῖς ἄλλοις οἴκοις καθῆσθαι ἐξ ἔθους ἔχοντες, ἐν τοῖς παροῦσι τῆς Θεομήτορος ὀρθοί πάντες ἀκροώμεθα.

Ταῖς τῆς σῆς ὑπερμάχου τε καί ἀπροσμάχου Μητρός πρεσβείαις, Χριστέ ὁ Θεός, τῶν περικειμένων καί ἡμᾶς ἀπάλλαξον συμφορῶν καί ἐλέησον ἡμᾶς, ὡς μόνος φιλάνθρωπος. Ἀμήν.

Β΄

Κατά τό πέμπτον τοῦτο Σάββατον τῆς Ἁγίας Τεσσαρακοστῆς, ἑορτάζομεν, τοῦτ' ἔστιν ἀνάμνησιν κάμνομεν τοῦ Ἀκαθίστου Ὕμνου, τοῦ γενομένου ἐν τῇ Κωνσταντινουπόλει ἕνα καιρόν, δι' αἰτίαν τοιαύτην. Ἐπί Ἡρακλείου τοῦ Βασιλέως τῶν Ῥωμαίων, Χοσρόης ὁ Βασιλεύς τῶν Περσῶν, βλέπων, πώς ἡ τῶν Ῥωμαίων δύναμις, ἐταπεινώθη παντελῶς ἀπό τάς τυραννίας καί ἀκαταστασίας Φωκᾶ τοῦ τυράννου, ἔστειλε ἕνα του Σατράπην Σάρβαρον ὀνομαζόμενον μέ πολλάς χιλιάδας στρατευμάτων, διά νά ὑποτάξῃ εἰς τό ἐδικόν του κράτος ὅλην τήν Ἀνατολήν· ὅτι καί προτήτερα εἶχε

φθείρει ὁ αὐτός Χοσρόης, ὡς ἑκατόν χιλιάδας χριστιανῶν· τούς ὁποίους οἱ χριστοκτόνοι Ἑβραῖοι ἀγοράζοντες, ἀνηλεῶς τούς ἐφόνευον. Ὁ Σάρβαρος λοιπόν, ἀφ' οὗ κατέδραμε, καί ἐκούρσευσεν ὅλην τήν Ἀνατολήν, ἐκατήντησε νά φθάσῃ ἕως καί εἰς αὐτήν τήν Χρυσούπολιν, ὁποῦ κοινῶς ὀνομάζεται Σκούταρι. Εἰς τόν αὐτόν καιρόν καί Χαγάνος ὁ ἀρχηγός τῶν Τατάρων καί Βουλγάρων, διαλύων τήν ἀγάπην ἤν εἶχε μέ τούς Ῥωμαίους, παίρνων ὁμοῦ στρατεύματα μυριάριθμα, ὥρμησεν ἀπό τά Δυτικά μέρη ἐναντίον τῆς Βασιλευούσης τῶν πόλεων, ἐκβάλον ἀπό τό μιαρόν του στόμα λόγους βλασφήμους κατά τοῦ Θεοῦ. Λοιπόν ἐγέμισε τό ὀγλιγορώτερον ἡ μέν θάλασσα ἀπό πλοῖα, ἡ δέ γῆ ἀπό πεζά καί ἱππικά στρατεύματα ἀναρίθμητα. Τότε ὁ Πατριάρχης Σέργιος, ἐδίδασκε τόν λαόν, καί πολλά τόν ἐνθάῤῥυνε, νά μήν ἀπελπίζωνται, ἀλλά νά ἀναφέρωσιν εἰς τόν Θεόν ἀπό ψυχῆς ὅλην των τήν ἐλπίδα, καί εἰς τήν αὐτοῦ Μητέρα τήν Πανάχραντον Θεοτόκον. Ἀλλά καί Βῶνος ὁ Πατρίκιος, ὁποῦ τότε ἐκυβέρνα τήν πόλιν, μέ τό νά εἶχεν ἐκστρατεύσῃ ἐκεῖνον τόν καιρόν πρός τούς Πέρσας, ὁ Βασιλεύς Ἡράκλειος ἡτοίμαζεν ὅσον ἠδύνατο, ὅσα ἦσαν ἁρμόδια, πρός ἀντίστασιν καί ἀποτροπήν τῶν πολεμίων· ὅτι ὁμοῦ μέ τήν θείαν βοήθειαν, πρέπει καί ἡμεῖς, ἐκ μέρους μας νά ἐνεργῶμεν, τά ὅσα δυνάμεθα, καί τά ἐλλείποντα ἡ θεία δύναμις ἀναπληροῖ. Ὁ Πατριάρχης λοιπόν πέρνων εἰς τάς χεῖράς του

τάς θείας Εἰκόνας τῆς Θεοτόκου, καί τά τίμια καί ζωοποιά Ξύλα, καί ἀκόμη καί τιμίαν Ἐσθῆτα τῆς Θεομήτορος, ἐτριγύριζε μέ ὅλον τό πλῆθος, τό τεῖχος ἄνωθεν, κάμνων μέ τόν τρόπον τοῦτον, τήν ἀσφάλειαν αὐτῶν. Οἱ δύω λοιπόν βάρβαροι, ὁ Σάρβαρος ἐξ Ἀνατολῶν, καί ὁ Σκύθης Χαγάνος ἐκ Δυσμῶν ἤρχισαν νά κατακαίουν τά πέριξ τῆς πόλεως. Ὁ δέ Χαγάνος διά ξηρᾶς ἐπλησίασεν εἰς τά τειχόκαστρα τῆς πόλεως, μέ πλῆθος ἄπειρον, ὥστε ὁποῦ εἷς Ῥωμαῖος μέ δέκα Σκύθας φανερά ἐπολέμει. Ὅμως, ἡ ἄμαχος Δέσποινα, μέ ὀλίγους τινάς στρατιῶτας ὁποῦ εὑρέθησαν πάμπολυ πλῆθος ἐξ αὐτῶν ἠφάνισεν, εἰς τόν Ναόν τόν ἐδικόν της ὁποῦ ὀνομάζετο Πηγή· καί ἐκ τούτου θάρσος λαβόντες οἱ Ῥωμαῖοι, καί ἀνασκιρτήσαντες, στρατηγόν ἀνίκητον Θεομήτορα ἔχοντες, ἐνίκων αὐτούς εἰς τό ἑξῆς ἀκατάπαυστα. Ἐζήτησαν οἱ πολῖται εἰρήνην ἀπό τούς Βαρβάρους, ἀλλά δέν εἰσηκούσθησαν· ἀλλά μάλιστα καί ἀπεκρίθη ὁ ἄθεος Χαγάνος, μήν ἀπατᾶσθε ἐπί τῷ Θεῷ, εἰς τόν ὁποῖον
154 πιστεύετε· ὅτι αὔριον χωρίς ἄλλο, ἐγώ θέλω κυριεύσει τήν πόλιν σας. Ταῦτα οἱ πολῖται ἀκούσαντες, χεῖρας ὕψωσαν πρός τόν Θεόν, βοήθειαν ἐκεῖθεν ζητοῦντες, ἐναντίον τῶν ὑπερηφάνων, καί ὑβριστῶν. Οἱ μέν οὖν βάρβαροι Χαγάνος τε καί Σάρβαρος, συμφωνήσαντες, ἐπλησίασαν, καί διά ξηρᾶς καί διά θαλάσσης, μέ τάς πολεμικάς των μηχανάς, ὅλως διόλου προθυμούμενοι νά κυριεύσουν τήν πόλιν, ἀλλ' ὅμως τόσον ἐνικήθησαν

ἀπό τούς Ῥωμαίους, ὥστε ὁποῦ οἱ ζῶντες δέν ἦσαν ἀρκετοί νά καίουν τούς ἀποθαμμένους. Τά δέ πλοῖά των, ὁποῦ ἦτον γεμάτα ἀπό στρατιῶτας ὁπλίτας, ἀπό τόν Κεράτιον κόλπον εἰς τόν ἐν Βλαχέρναις Ναόν τῆς Θεοτόκου φερόμενα, ὅλα ἐφθάρησαν, καί ἐπῆγαν εἰς τήν ἀπώλειαν, ἀπό ἕνα φοβερόν, ἀνεμοστρόφυλλον, ὁποῦ ἔξαφνα ἔπεσεν εἰς τήν θάλασσαν. Καί ἦτον νά ἰδῇ τίς, ἕν παράδοξον κατόρθωμα τῆς Πανάγνου καί Θεομήτορος· ὅτι ὅλους τούς ἐξέβρασεν εἰς τό χεῖλος τῆς θαλάσσης τοῦ ἐν Βλαχέρναις Ναοῦ· ὅθεν καί ὁ λαός τοῦτο ἰδών, καί ἀνοίξας τό ὀγλιγορώτερον τάς πύλας, πάσας ἀπέκτειναν, καί παῖδας, καί γυναῖκας, ἐναντίον τῶν ἀσεβῶν ἀνδριζόμενοι· οἱ δέ ἀρχηγοί αὐτῶν, ἤγουν ὁ βάρβαρος Σάρβαρος, καί ὁ ἄθεος Χαγάνος, ἔφευγον τό ὀγλιγορώτερον κλαίοντες καί ὀδυρόμενοι τόν ἀνέλπιστόν των ἀφανισμόν. Ὁ δέ θεοφιλής τῆς πόλεως λαός, τήν νίκην ἀποδιδούς εἰς τήν Θεομήτορα, ὡσάν εἰς στρατηγόν ὑπέρμαχον καί ἀκαταμάχητον, ὁλονύκτιον καί ἀκάθιστον τόν ὕμνον εἰς αὐτήν ἐμελῴδησαν, ὡσάν ὁποῦ διά τήν σωτηρίαν αὐτῶν ἠγρύπνησε, καί μέ δύναμιν ὑπερφυσικήν, τό κατά τῶν ἐχθρῶν ἔστησε τρόπαιον. Ἀπό τότε λοιπόν καί εἰς τό ἑξῆς ἡ Ἐκκλησία τοῦ Χριστοῦ παρέλαβε, νά τελῇ εἰς τήν Μητέρα τοῦ Θεοῦ, τήν τοιαύτην ἑορτήν, κατά τόν καιρόν τοῦτον, ὁποῦ ἔγινε τό παράδοξον τῆς νίκης κατόρθωμα, μέ σκοπόν διά νά ἀνακαινίζηται κατ᾽ ἔτος ἡ ἐνθύμησις

τοῦ τοσούτου, καί ὑπερφυοῦς θαύματος. Ἀκάθιστον δέ ὠνόμασαν ἐκεῖνον τόν ὕμνον, ἐπειδή καί τό Ἱερατεῖον ὅλον, καί ὁ λαός ὅλος τῆς πόλεως, ὄρθιοι, χωρίς νά καθίσουν ὁλότελα ὅλην τήν νύκτα, τόν ὕμνον ἐτέλεσαν. Περνῶντες δέ ὕστερον χρόνοι ἕξ καί τριάκοντα, ἐπί τῆς Βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου οἱ Ἀγαρηνοί συναθροίσαντες ἀναρίθμητα στρατεύματα, ὥρμησαν πάλιν εἰς τήν ἰδίαν Κωνσταντινούπολιν, καί χρόνους ἑπτά τήν εἶχον περικεκλεισμένην, ὅτε καί παραχειμάζοντες εἰς τά μέρη τῆς Κυζίκου, πολλούς ἐφόνευον ἀπό τούς πέριξ Χριστιανούς, καί πολλά ἄλλα κακά ἔκαναν. Ἔπειτα ἀφ' οὗ εἶδον ὅτι δέν κατορθώνουν ἐκεῖνο ὁποῦ ἐφαντάσθησαν, ἤτοι νά κυριεύσουν τήν Βασιλεύουσαν, ἐμίσευσαν ἐκεῖθεν μέ τήν ἀρμάδαν των. Φθάσαντες δέ εἰς τό μέρος ὁποῦ ὀνομάζεται Σύλαιον, ὅλοι ἐκαταποντίσθησαν, ὡς οἱ Φαραωνῖται, εἰς τόν βυθόν τῆς θαλάσσης, ἀπό τήν θείαν προστασίαν τῆς Πανάγνου καί Θεομήτορος. Ἀλλά καί τρίτην φοράν, εἰς τάς ἡμέρας Λέοντος τοῦ Ἰσαύρου, οἱ Ἀγαρηνοί πάλιν ὑπέρ πλείστας μυριάδας ἀριθμούμενοι, πρῶτον μέν τό Βασίλειον ἠφάνισαν τῆς Περσίας, εἶτα τήν Αἴγυπτον καί τήν Λιβύην ἐπόρθησαν· καί πρός τούτοις, καί τούς Ἰνδούς, καί τούς Αἰθίοπας, καί αὐτούς ἀκόμη τούς Ἱσπανούς· ὕστερον στρατεύουσι καί κατά τῆς Βασιλίδος ταύτης τῶν πόλεων, ἔχοντες ἀρμάδαν πλοῖα χίλια ὀκτακόσια. Τριγυρίσαντες λοιπόν αὐτήν μέ περίβολον

στρατευμάτων, ἔστεκον μέ ἐλπίδας, ὅτι εὐθύς εὐθύς, χωρίς καμμίαν δυσκολίαν, ἔμελλον νά τήν ἀναρπάσουν. Ὁ δέ Πατριάρχης, καί ὅλος ὁ θεοσεβής τῆς πόλεως λαός, εἰς τάς χεῖρας λαβόντες τά Τίμια Ξύλα, καί τήν σεβασμίαν Εἰκόνα τῆς Θεομήτορος Ὁδηγητρίας, περιεκύκλουν τό κάστρον, μετά δακρύων τόν Θεόν ἐξιλεούμενοι. Οἱ Ἀγαρηνοί ὅμως διῃρέθησαν εἰς δύω μέρη· καί τό μέν ἕν μέρος, ἐστράτευσαν κατά τῶν Βουλγάρων, καί ἐκεῖ ἔπεσαν καί ἐφθάρησαν μυριάδες πολλαί· τό δέ ἄλλο μέρος ἔμεινε διά νά σκλαβώσῃ τήν πόλιν· δέν ἠμπόρεσαν ὅμως τά πλοῖά των νά σιμώσουν εἰς τά τείχη τῆς πόλεως, μέ τό νά ἐμποδίζοντο, ἀπό τήν ἁλυσίδα, ὁποῦ βαστᾷ ἀπό τόν Γαλατᾶν, ἕως εἰς τά τειχόκαστρα, καί οὕτως ἐγύρισαν πρός τό λεγόμενον Σωσθένιον, καί ἐκεῖ πάμπολλα ἀπό αὐτά, διερράγησαν καί ἠφανίσθησαν, ἀπό ἄνεμον Βορέαν, ὁποῦ ἔπνευσεν ὁρμητικώτατα· οἱ δέ ἐπίλοιποι, εἰς τόσην πολλήν, καί σφοδράν πεῖναν κατήντησαν ὥστε ὁποῦ καί κρέατα ἔφαγον ἀνθρώπινα, καί κόπρια ζώων ἐζύμωναν, καί ἔτρωγαν. Ἔπειτα φεύγοντες κακῶς ἐκεῖθεν, καί πλέοντες εἰς τό Αἰγαῖον πέλαγος, τό ὁποῖον κοινῶς λέγεται Ἀρτζιπέλαγος, ἐκεῖ κατεποντίσθησαν ὅλα μέ ὅλους, ἀπό μίαν χάλαζαν ὁποῦ ἔπεσεν οὐρανόθεν πολύ ραγδαία, καί ἀφ' οὗ ἔκαμεν ἕνα μέγαν βρασμόν εἰς τήν θάλασσαν, διέλυσε καί τήν πίσσαν τῶν πλοίων. Καί οὕτως ὁ ἀπειροπληθύς ἐκεῖνος στόλος ἐχάθη ὅλος, καί

μόνον τρεῖς ἔμειναν, ὅσον διά νά ὑπάγουν νά δώσουν εἰς τούς ἐδικούς των, τήν ὀλεθριωτάτην ἐκείνην εἴδησιν. Διά ταῦτα λοιπόν ὅλα τά ὑπερφυσικά θαύματα τῆς Πανάγνου καί Θεομήτορος τήν παροῦσαν ἐπιτελοῦμεν ἑορτήν. Ἀκάθιστος δέ καθώς εἴπομεν ὠνομάσθη ὁ παρών Ὕμνος, διότι τότε ὀρθῶς ἱστάμενοι, ἔψαλλον αὐτό. Ὀνομάζεται δέ Ἀκάθιστος καί κατά ἄλλον τρόπον, ὅτι εἰς μέν τούς ἄλλους οἴκους τῶν ἑορτῶν, συνηθίζομεν νά καθήμεθα, τούτους δέ τῆς Θεομήτορος, καί ὀρθοί, καί μετά πάσης εὐλαβείας ἀκούομεν. Ταῖς τῆς σῆς Μητρός, τῆς ὑπερμάχου τε καί ἀπροσμάχου πρεσβείαις, Χριστέ ὁ Θεός, τῶν ἐπικειμένων καί ἡμᾶς ἀπάλλαξον συμφορῶν, καί ἐλέησον ἡμᾶς ὡς μόνος φιλάνθρωπος.



ΚΥΡΙΑΚΗ Ε΄ ΕΒΔΟΜΑΔΟΣ ΝΗΣΤΕΙΩΝ
(ΜΑΡΙΑΣ ΤΗΣ ΑΙΓΥΠΤΙΑΣ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ πέμπτῃ τῶν νηστειῶν, διετάχθημεν μνήμην ποιεῖσθαι τῆς ὁσίας μητρός ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

Α΄

Αὕτη ἦν ἐξ Αἰγύπτου, τῇ ἀκολασίᾳ τό πρότερον ζήσασα, καί πολλῶν ἀνθρώπων ψυχάς διά τῆς κατά μῖξιν ἡδονῆς πρός ὄλεθρον ἐκκαλουμένη. Ἐπί χρόνους οὖν δεκαεπτά τῇ ἀσελγείᾳ προσμείνασα, διά τό εὐθύς ἐκ παιδός πρός τήν πονηράν ἐξολισθῆσαι πρᾶξιν, ὕστερον ἐπέδωκεν ἑαυτήν τῇ ἐγκρατείᾳ, καί τοσοῦτον ὑψώθη δι᾽ ἀπαθείας, ὡς καί τοῖς ὕδασι τοῦ Ἰορδάνου κούφως ἐπιβαίνειν, καί κατά γῆν εὐχομένην μετάρσιον αἴρεσθαι.

Ἡ δέ αἰτία τῆς μεταβολῆς αὐτῆς ἦν αὕτη. Κατά τόν καιρόν τῆς τοῦ τιμίου Σταυροῦ προσκυνήσεως, πολλῶν πανταχόθεν τρεχόντων ἐν τοῖς Ἱεροσολύμοις, ἀκολάστοις νέοις καί αὐτή συνεξωρμήθη. Κατά τόν τόπον δέ γενομένη, καί ἀοράτως τῆς τῶν σεπτῶν εἰσόδου κωλυομένη, τήν Θεομήτορα Παρθένον ἁγνήν ἐγγυητήν ἔθετο, εἰ τήν εἴσοδον συγχωρηθείη, σωφροσύνην μέν ἐλέσθαι, μηκέτι δέ βίῳ πονηρῷ καί ταῖς σαρκικαῖς δουλεύειν

ἡδοναῖς καί ἐπιθυμίαις. Καί μέν τοι τῆς εὐχῆς τυχοῦσα καί περαιωθεῖσα τόν Ἰορδάνην, γενομένη κατά τήν ἔρημον, ἐπί χρόνοις τεσσαράκοντα ἑπτά ἠγωνίσατο, μηδένα μέν ἄνθρωπον, μόνον δέ τόν Θεόν ἔχουσα θεατήν· δι' οὗ καί τῆς ἀνθρωπίνης μέν φύσεως ἀπανέστη, τήν δέ ἀγγελικήν ἐπί γῆς ἀγωγήν καί πολιτείαν ἐκτήσατο.

Περί δέ τά τέλη τῆς ζωῆς, συναντήσασα ἐρημίτῃ τινί, Ζωσιμᾷ τό ὄνομα, καί τόν ἀπ' ἀρχῆς βίον αὐτῆς διηγηθεῖσα, παρεκάλεσεν αὐτόν ἵνα κομίσῃ αὐτῇ τά ἄχραντα μυστήρια πρός κοινωνίαν· ὅ καί ἐποίησεν ἐκεῖνος τό ἐρχόμενον ἔτος κατά τήν Μεγάλην Πέμπτην. Τό δέ ἐφεξῆς ἔτος, ἐπανελθών πάλιν ὁ Ζωσιμᾶς, εὗρεν αὐτήν νεκράν ἐπί τῆς γῆς ἠπλωμένην, καί γράμματα πλησίον αὐτῆς, ταῦτα λέγοντα· Ἀββᾶ Ζωσιμᾶ, θάψον ὧδε τό σῶμα τῆς ἀθλίας Μαρίας. Ἀπέθανον τήν αὐτήν ἡμέραν, καθ' ἥν ἐκοινώνησα τῶν ἀχράντων μυστηρίων. Εὔχου ὑπέρ ἐμοῦ. Τάττεται δέ ὁ θάνατος αὐτῆς τῷ τοῃ΄ ἔτει.

Τῆς ὁσίας ταύτης ἡ μνήμη τελεῖται μέν κατά τήν πρώτην Ἀπριλίου· ἐτάχθη δέ ἡ αὐτή καί σήμερον, ἐγγίζοντος ἤδη τοῦ τέλους τῆς ἁγίας Τεσσαρακοστῆς, πρός διέγερσιν τῶν ῥαθύμων καί ἁμαρτωλῶν εἰς μετάνοιαν, ἐχόντων ὑπόδειγμα τήν ἑορταζομένην ἁγίαν.

Ταῖς αὐτῆς πρεσβείαις, ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Β΄

(Τό ἀντίστοιχο κείμενο λείπει).



ΣΑΒΒΑΤΟΝ ΤΟΥ ΛΑΖΑΡΟΥ

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ πρό τῶν Βαΐων, ἑορτάζομεν τήν ἔγερσιν τοῦ ἁγίου καί δικαίου φίλου τοῦ Χριστοῦ Λαζάρου τοῦ τετραημέρου.

Α΄

Ἑβραῖος μέν ἦν τό γένος ὁ Λάζαρος, φαρισαῖος δέ τήν αἵρεσιν, καί υἱός, ὥς που εὕρηται, τοῦ φαρισαίου Σίμωνος, ἀπό Βηθανίας τῆς κώμης ὁρμώμενος. Τοῦ δέ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τάς κατά γῆν ποιουμένου διατριβάς ἐπί σωτηρίᾳ τοῦ γένους ἡμῶν, καί οὗτος εἰς φιλίαν αὐτῷ ἑνοῦται. Πρός γάρ τόν Σίμωνα τοῦ Χριστοῦ συνεχῶς διαλεγομένου, ἅτε καί αὐτοῦ τήν ἐκ νεκρῶν ἀνάστασιν μάλα πρεσβεύοντος, καί τῇ οἰκίᾳ τούτου προσβάλλοντος, συνεχέστερον ὁ Λάζαρος εἰς γνησιότητα στέργεται· οὐκ αὐτός δέ μόνος, ἀλλά καί αἱ δύο τούτου ἀδελφαί, ἡ Μάρθα δηλονότι καί ἡ Μαρία.

Ἤδη δέ τοῦ σωτηρίου πάθους ἐγγίζοντος, ἐπεί ἔδει τό τῆς ἀναστάσεως μυστήριον ἀκριβέστερον πιστωθῆναι, ἦν μέν διατρίβων ὁ Ἰησοῦς πέραν τοῦ Ἰορδάνου, πρότερον τήν τοῦ Ἰαείρου παῖδα καί τόν τῆς χήρας ἐκ

νεκρῶν ἀναστήσας· ὁ δέ φίλος αὐτοῦ Λάζαρος, νόσῳ βαρείᾳ κατεργασθείς, τέθνηκεν. Ἰησοῦς οὖν καί ἀπών λέγει τοῖς μαθηταῖς· *Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται.* Καί μικρόν αὖθις διαλιπών, Λάζαρος, φησίν, *ἀπέθανεν.* Ἔρχεται οὖν εἰς Βηθανίαν, τόν Ἰορδάνην λιπών, ὡς παρά τῶν ἀδελφῶν αὐτοῦ διαμηνυθείς· ἀπέχει δέ τῶν Ἱεροσολύμων ἡ Βηθανία ὡσεί στάδια πεντεκαίδεκα. Καί προϋπήντησαν αὐτῷ αἱ ἀδελφαί τοῦ Λαζάρου λέγουσαι· *Κύριε, εἰ ἦς ὧδε, οὐκ ἄν ἀπέθανεν ἡμῶν ὁ ἀδελφός· ἀλλά καί νῦν, εἴ σοι βουλητόν, ἐγερεῖς αὐτόν· δύνασαι γάρ.* Ἐρωτᾷ δέ τόν ὄχλον ὁ Ἰησοῦς· *Ποῦ τεθείκατε αὐτόν;* Καί αὐτίκα πάντες προῆγον ἐπί τό μνῆμα. Καί τοῦ λίθου ἀρθέντος, ἡ Μάρθα λέγει: *Κύριε, ὄζει· τεταρταῖος γάρ ἐστιν.* Εἶτα προσευξάμενος ὁ Ἰησοῦς καί δάκρυα τῷ κειμένῳ καταγαγών, φωνῇ μεγάλῃ ἐκραύγασε· *Λάζαρε, δεῦρο ἔξω.* Καί αὐτίκα ὁ τεθνηκώς ἐξῆλθε, καί λυθείς ἀνεχώρησεν οἴκαδε.

Τοῦτο τό ξένον τεράστιον εἰς φθόνον διεγείρει τόν τῶν Ἑβραίων λαόν, ὅς κατά τοῦ Χριστοῦ ἐκμαίνεται. Ὁ δέ Ἰησοῦς πάλιν φυγάς ᾤχετο. Οἱ δέ ἀρχιερεῖς καί τόν Λάζαρον ἀποκτεῖναι διενοήθησαν· διότι πολλοί, αὐτόν ὁρῶντες, Χριστῷ προσετίθεντο. Ἀλλ' ἐκεῖνος, τά σκεπτόμενα ἐγνωκώς, πρός τήν Κύπρον νῆσον διαδιδράσκει, κἀκεῖσε διατρίβων, ἐσύστερον ὑπό τῶν ἀποστόλων ἀρχιερεύς τῆς Κιτιαίων ἀναδείκνυται πόλεως. Καλῶς δέ καί θεοφιλῶς πολιτευσάμενος, μετά τριακονταετῆ

χρόνον τῆς αὐτοῦ ἀναβιώσεως θνήσκει πάλιν· κἀκεῖσε δέ θάπτεται, πολλά θαυμάσια κατεργασάμενος.

Λέγεται δέ μετά τήν ἀναβίωσιν μηδέν τινος ἐσθίειν χωρίς γλυκάζοντος, καί ὅτι τό αὐτοῦ ὠμοφόριον ἡ πάναγνος τοῦ Θεοῦ Μήτηρ, οἰκείαις ἐπισκευασαμένη χερσίν, αὐτῷ ἐχαρίσατο. Τούτου τό τίμιον καί ἅγιον λείψανον ὁ σοφώτατος βασιλεύς Λέων, ἔκ τινος ὄψεως θειοτέρας ἐκεῖθεν μετακομισάμενος, ἐν τῷ κατά τήν Κωνσταντίνου πόλιν παρ' αὐτοῦ δομηθέντι ναῷ εἰς ὄνομα τούτου σεμνῶς καί πολυτελῶς κατατίθησιν, εἰς δεξιά τοῦ νεώ εἰσιόντι κατά τούς τοῦ ἱεροῦ βήματος ἐμπροσθίους τοίχους. Καί νῦν εἰσέτι μένει τό τίμιον αὐτοῦ λείψανον, ἄῤῥητόν τινα εὐωδίαν ἀποτελοῦν.

Ἑορτάζεσθαι δέ κατά τήν παροῦσαν ἡμέραν ἐτάχθη ἡ αὐτοῦ ἔγερσις, ὅτι οἱ ἅγιοι θεοφόροι πατέρες ἡμῶν, μᾶλλον δέ οἱ ἅγιοι ἀπόστολοι, μετά τήν τεσσαρακονθήμερον νηστείαν διά τήν κάθαρσιν, τά ἅγια πάθη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μέλλοντες θεῖναι, ἐπειδή τοῦτο τό θαῦμα ἀρχήν καί αἰτίαν μάλιστα εὗρον τῆς κατά τοῦ Χριστοῦ μανίας τῶν Ἰουδαίων, κατά τοῦτο ἐνταῦθα τό ὑπερφυές τοῦτο τεράστιον ἔθεντο. Ὅ δή ὁ εὐαγγελιστής Ἰωάννης μόνος συγγράφεται, ὡς τῶν ἄλλων εὐαγγελιστῶν παραλιπόντων αὐτό· ἴσως, ὅτι ζῶν ἦν ὁ Λάζαρος καί ὁρώμενος. Λέγεται μέν τοι ὅτι καί δι' αὐτό τοῦτο καί τό λοιπόν συνεγράψατο Εὐαγγέλιον, καί ὅτι οὐδέν περί τῆς ἀνάρχου γεννήσεως τοῦ

Χριστοῦ οἱ ἄλλοι διέλαβον· τοῦτο γάρ ἦν τό ζητούμενον πιστευθῆναι, ὅτι Υἱός Θεοῦ καί Θεός ἦν ὁ Χριστός, καί ὅτι ἀνέστη, καί ἀνάστασις ἔσεται τῶν νεκρῶν· ὅ διά τόν Λάζαρον μᾶλλον πιστεύεται.

Οὐδέν δέ περί τῶν τοῦ ᾅδου ὁ Λάζαρος εἶπεν· ἤ ὅτι οὐ συνεχωρήθη τελείως ἰδεῖν τά ἐκεῖσε ἤ ἰδών σιγῆσαι ταῦτα διεκελεύσθη. Ἀπό τούτου καί πᾶς ἄνθρωπος ἄρτι θανών Λάζαρος λέγεται, καί τό ἐντάφιον ἔνδυμα πάλιν Λαζάρωμα καλεῖται, αἰνιττομένου τοῦ λόγου εἰς μνείαν τοῦ πρώτου Λαζάρου ἔρχεσθαι· εἰ γάρ ἐκεῖνος λόγῳ Χριστοῦ ἀνέστη καί ἀνεβίωσεν αὖθις, οὕτω καί οὗτος, εἰ καί ἔθανεν, ἀλλ᾽ ἐν τῇ ἐσχάτῃ σάλπιγγι ἀναστάς αἰωνίως ζήσεται.

Ταῖς τοῦ σοῦ φίλου Λαζάρου πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Εἰς τήν ἡμέραν ταύτην, ἤτοι τοῦ ἕκτου Σαββάτου τῶν Ἁγίων Νηστειῶν, ἑορτάζομεν τήν Ἀνάστασιν τοῦ Ἁγίου καί δικαίου φίλου τοῦ Χριστοῦ Λαζάρου τοῦ τετραημέρου. Οὗτος ἦτον Ἑβραῖος τό γένος, Φαρισαῖος τήν αἵρεσιν, καί υἱός, καθώς λέγεται, τοῦ Φαρισαίου Σίμωνος, ἀπό Βηθανίαν μικρόν χωρίον, καταγόμενος· φίλος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ γενόμενος, ἀπό τοιαύτην

τινά ἀφορμήν. Συνεχῶς ὁ Χριστός μέ τόν Σίμωνα συνωμίλει, ὡσάν ὁποῦ καί αὐτός ἐπίστευε τήν ἐκ νεκρῶν τῶν ἀνθρώπων ἀνάστασιν, καί συχνότερον ἤρχετο εἰς τήν οἰκίαν του, καί ἐκ ταύτης τῆς αἰτίας ὁ Λάζαρος ἐδέχθη εἰς γνησιότητα. Καί ὄχι μόνος αὐτός, ἀλλά καί αἱ δύω του ἀδελφαί, ἡ Μάρθα δηλαδή καί ἡ Μαρία. Εἰς καιρόν δέ ὁποῦ ἐπλησίαζε τό Σωτήριον Πάθος, ἐπειδή ἦτον χρεία νά βεβαιωθῇ ἀκριβέστερον τό τῆς Ἀναστάσεως μυστήριον, ἀφ' οὗ ἀνέστησε πρῶτον τήν θυγατέρα τοῦ Ἰαείρου, καί μετά ταύτην τόν τῆς χήρας υἱόν, εὑρίσκετο διατρίβων ὁ Ἰησοῦς εἰς τό πέραν μέρος τοῦ Ἰορδάνου· καί τότε ὁ φίλος του Λάζαρος ἀσθενήσας βαρέως ἀπέθανε. Καί ὁ Ἰησοῦς λέγει πρός τούς Μαθητάς του· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· εἶτα μετ' ὀλίγον, λέγει φανερά, Λάζαρος ἀπέθανε. Λοιπόν, ἀφίνων τόν Ἰορδάνην ἔρχεται εἰς τήν Βηθανίαν. Ἀπέχει δέ ἡ Βηθανία ἀπό τά Ἱεροσόλυμα, ὡς δύω μίλια. Μαθοῦσαι δέ αἱ ἀδελφαί τοῦ Λαζάρου, ὅτι ἔφθασεν ὁ Ἰησοῦς, ἐπῆγαν εἰς προϋπάντησίν του, πρῶτον ἡ Μάρθα, ὕστερον καί ἡ Μαρία, κλαίουσαι καί αἱ δύω καί λέγουσαι· Κύριε ἄν ἤθελες τύχει ἐδῶ, δέν ἤθελεν ἀποθάνει ὁ ἀδελφός μας, ἀλλά καί τώρα, ἐάν θελήσῃς δύνασαι νά τόν ἀναστήσῃς. Καί ὁ Χριστός, ὡσάν νά μήν ἤξευρεν, ἐρωτᾷ τούς παρόντας, ποῦ ἐθάψατε αὐτόν; καί παρευθύς ὅλοι ἐκίνησαν διά νά δείξουν τό μνῆμα. Προστάξαντος δέ τοῦ Ἰησοῦ νά σηκώσουν τόν

λίθον, τό σκέπασμα τοῦ τάφου, καί τούτου γενομένου, ἡ Μάρθα ἐφώναξε, Κύριε, ἤδη βρωμᾷ, ἐπειδή εἶναι τεσσάρων ἡμερῶν νεκρός. Ὁ δέ Ἰησοῦς δεικνύων, πώς εἶναι τέλειος ἄνθρωπος· ἐδάκρυσεν ἐπάνω εἰς αὐτόν· ἔπειτα κάνων καί σχῆμα προσευχῆς πρός τόν Πατέρα, μετά τοῦτο, ἐφώναξε φωνῇ μεγάλῃ, Λάζαρε, δεῦρο ἔξω· καί παρευθύς ὁ ἀποθαμμένος ἐπήδησεν ἔξω ἀπό τόν τάφον, καί λύων τούς πόδας του καί τάς χεῖράς του, ἐπῆγεν εἰς τό σπίτι του. Τοῦτο τό ἐξαίσιον ἔργον, ἐκίνησεν εἰς φθόνον τούς ἀρχηγούς τοῦ ἑβραϊκοῦ λαοῦ, καί μαίνονται κατά τοῦ Χριστοῦ· καί πάλιν ἀναχωρεῖ πρός ὥραν ὁ Ἰησοῦς. Οἱ δέ ἀρχιερεῖς ἐβουλήθησαν οἱ μάταιοι νά φονεύσουν ἀκόμη καί τόν Λάζαρον, ἐπειδή ἀπό αἰτίαν αὐτοῦ πολλοί ἐπίστευον εἰς τόν Χριστόν· καί διά τοῦτο μανθάνων τήν ἐπιβουλήν αὐτῶν, μετέβη εἰς τήν νῆσον Κύπρον, καί ἐκεῖ εὑρισκόμενος, ὕστερον τέλος πάντων ἐχειροτονήθη καί ἐπίσκοπος τῆς Κυτιαίων πόλεως· ὅστις, καλῶς καί θεοφιλῶς πολιτευσάμενος, μετά τριάκοντα χρόνους, τῆς αὐτοῦ ἀναβιώσεως, πάλιν ἀπέθανε, καί ἐτάφη ἐκεῖ, θαύματα ἐπιτελέσας πάμπολλα. Λέγεται δέ, ὅτι ὅσους χρόνους ἔζησεν ὕστερον, ποτέ δέν ἔτρωγε τίποτε, χωρίς γλύκισμα· καί ὅτι ἡ Παναγία Παρθένος, μέ τά ἴδιά της χέρια, τοῦ κατεσκεύασε τό ὠμοφόριον. Τούτου τό τίμιον καί Ἅγιον Λείψανον, θεόθεν κινούμενος, ὁ σοφώτατος Βασιλεύς Λέων, μετεκόμισεν εἰς τήν Κωνσταντινούπολιν, καί

ἀπέθετο αὐτό εἰς τόν Ναόν αὐτοῦ τοῦ Ἁγίου Λαζάρου, τόν ὁποῖον αὐτός ᾠκοδόμησε, καί ἐκεῖ εὑρίσκετο χρόνους πολλούς, εὐωδίαν ἐκπέμπον ἄῤῥητον. Διωρίσθη δέ ὑπό τῶν θεοφόρων Πατέρων ἡμῶν, μᾶλλον δέ ὑπό τῶν Ἁγίων Ἀποστόλων, νά ἑορτάζηται παρ' ἡμῶν, κατά τήν παροῦσαν ἡμέραν, ἡ ἐκ νεκρῶν αὐτοῦ ἔγερσις, ἀφοῦ ἐτελείωσεν ἡ τεσσαρακονθήμερος Νηστεία, ὕστερον ἀπό τήν ὁποίαν διώρισαν, νά ἀκολουθῇ ἡ ἑορτή τῶν Ἁγίων Παθῶν. Καί ἐπειδή τό θαῦμα τοῦτο περισσότερον ἀπό ὅλα ἀρχήν καί αἰτίαν εὗρον τῆς κατά τοῦ Χριστοῦ μανίας τῶν Ἰουδαίων, διά τοῦτο ἔταξαν ἐδῶ εἰς τόν καιρόν τοῦτον, τό ὑπερφυσικόν τοῦτο τεράστιον· τό ὁποῖον μόνος ὁ Εὐαγγελιστής Ἰωάννης συνέγραψεν, ὡς τῶν ἄλλων Εὐαγγελιστῶν ἀποσιωπησάντων αὐτό. Καί λέγουσιν, ὅτι καί δι' αὐτό τοῦτο, καί τό λοιπόν συνέγραψεν Εὐαγγέλιον, καί ὅτι περί τῆς Ἀνάρχου Γεννήσεως τοῦ Χριστοῦ, τοῦτ' ἔστι περί Θεολογίας, οὐδέν εἶπον οἱ ἄλλοι τρεῖς Εὐαγγελισταί· ὅτι τοῦτο ἦν τό ζητούμενον νά πιστευθῇ, ὅτι ὁ Χριστός ἦν Υἱός Θεοῦ καί Θεός, καί ὅτι ἀνέστῃ, καί ἀνάστασις ἔσται τῶν νεκρῶν· τό ὁποῖον πιστεύεται περισσότερον ἀπό τοῦ Λαζάρου τήν ἔγερσιν. Καί τοῦτο δέ σημειοῦσιν, ὅτι οὐδέν εἶπε περί τῶν ἐν ᾅδει ὁ Λάζαρος, ἤ ὅτι δέν τοῦ ἐσυγχωρήθη τελείως νά ἰδῇ τά τοῦ ᾅδου ἤ ἄν εἶδεν, ἐπροστάχθη νά τά σιωπήσῃ. Ἀπό τόν Λάζαρον ἐκεῖνον, καί κάθε ἄνθρωπος ὁποῦ ἀποθάνῃ, Λάζαρος ὀνομάζεται, καί

τό ἐντάφιον ἔνδυμα, Λαζάρωμα λέγεται, τάχα τοῦτο θέλων νά φανερώσῃ ὁ λόγος, νά ἐρχώμεθα εἰς ἐνθύμησιν τοῦ πρώτου ἐκείνου Λαζάρου· ὅτι καθώς ἐκεῖνος, ἀπό τόν λόγον τοῦ Χριστοῦ, ἀνέστη καί ἀνέζησε· οὕτω καί οὗτος, ἄν καί ἀπέθανεν, ἀλλ' ἐν τῇ ἐσχάτῃ σάλπιγγι ἀναστάς αἰωνίως ζήσεται. Ταῖς τοῦ σοῦ φίλου Λαζάρου πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον ἡμᾶς. Ἀμήν.



ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΪΩΝ

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τῶν Βαΐων, τήν λαμπράν καί ἔνδοξον πανήγυριν τῆς εἰς Ἱερουσαλήμ εἰσόδου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἑορτάζομεν.

Α΄

Μετά τό ἐγερθῆναι τόν Λάζαρον ἐκ νεκρῶν, πολλοί κατιδόντες τό γεγονός ἐπίστευον εἰς Χριστόν. Καί δή κυροῦται ψῆφος τῇ τῶν Ἰουδαίων συναγωγῇ τόν τε Χριστόν καί αὐτόν ἀποκτεῖναι τόν Λάζαρον. Φεύγει τοίνυν ὁ Ἰησοῦς, χώραν τῇ κακίᾳ διδούς· οἱ δέ τῶν Ἰουδαίων ἐν τῇ ἑορτῇ τοῦ Πάσχα ἀποκτεῖναι τοῦτον μελέτην ἔθεντο. Καί χρόνου τῇ φυγῇ δοθέντος συχνοῦ, *πρό ἕξ ἡμερῶν τοῦ Πάσχα*, φησίν, *ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς*· κἀκεῖσε ἀρίστου γενομένου, συνήσθιεν αὐτῷ καί ὁ Λάζαρος· ἡ δέ ἀδελφή αὐτοῦ Μαρία τοῖς ποσί τοῦ Ἰησοῦ τό μύρον κατέχεε.

Καί τῇ ἐπαύριον στέλλει τούς μαθητάς αὐτοῦ ἄξοντας τήν ὄνον καί τόν πῶλον. Καί δή ὁ ἔχων θρόνον τόν οὐρανόν, ἐπιβεβηκώς τῷ πώλῳ εἰσήει τήν Ἱερουσαλήμ. Οἱ δέ παῖδες τῶν Ἑβραίων καί αὐτοί ὑπέῤῥιπτον αὐτῷ τά ἱμάτια καί κλάδους φοινίκων, τούς μέν κόπτοντες, ἄλλους δέ ταῖς χερσί περιφέροντες, ἐβόων, αὐτόν προπέμπον-

τες· *Ὡσαννά τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου βασιλεύς τοῦ Ἰσραήλ.* Τοῦτο δέ γέγονε, τάς ἐκείνων γλώσσας κινήσαντος τοῦ παναγίου Πνεύματος εἰς αἶνον καί εὐφημίαν Χριστοῦ. Ἐδήλουν δέ διά τῶν βαΐων, οἱονεί τῶν κλάδων, (βάϊον γάρ παρ' Ἑβραίοις ὁ ἁπαλός κλάδος λέγεται) τήν κατά τοῦ θανάτου τοῦ Χριστοῦ προσημαινόντων νίκην. Εἰωθός γάρ ἦν τούς νικητάς ἀγώνων ἤ πολέμων τινῶν κλάδοις δένδρων ἀειθαλῶν ἐν ταῖς ἐπινικίοις προπομπαῖς τιμᾶσθαι καί περιάγεσθαι. Ἠνίσσετο δέ ὁ πῶλος τόν ἐξ ἐθνῶν ἡμᾶς λαόν, ἐφ' ὅν κεκαθηκώς ὁ Χριστός καί ἐπαναπαυθείς, τροπαιοῦχος καί νικητής, βασιλεύς τε πάσης τῆς γῆς ἀνηγόρευται.

Περί ταύτης τῆς ἑορτῆς καί ὁ προφήτης ἔλεγε Ζαχαρίας· *Χαῖρε σφόδρα, θύγατερ Σιών· ἰδού ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς καί ἐπιβεβηκώς ἐπί ὑποζύγιον καί πῶλον ὄνου, υἱόν ὑποζυγίου.* Καί ὁ Δαβίδ πάλιν περί τῶν παίδων· *Ἐκ στόματος νηπίων καί θηλαζόντων κατηρτίσω αἶνον.* Ἀλλ' εἰσιόντος, φησί, τοῦ Χριστοῦ, ἐσείσθη πᾶσα Ἱεροσόλυμα, καί εἰς ἄμυναν οἱ ὄχλοι ὑπό τῶν ἀρχιερέων διερεθισθέντες, ἐσκόπουν αὐτόν ἀνελεῖν. Ὁ δ' ἐλάνθανε κρυπτόμενος· καί φαινόμενος διά παραβολῶν ἐλάλει αὐτοῖς.

Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστέ ὁ Θεός ἡμῶν, νικητάς ἡμᾶς τῶν παραλόγων παθῶν ποίησον, καί τήν σήν ἐναργῆ κατά θανάτου νίκην, τήν φαιδράν σου καί ζωηφόρον ἀνάστασιν, ἰδεῖν καταξίωσον, καί ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Εἰς τήν ἕκτην ταύτην Κυριακήν τῆς Ἁγίας Τεσσαρακοστῆς, τήν περιφανῆ καί ὑπέρλαμπρον ἑορτήν τῶν Βαΐων πανηγυρίζομεν διά τήν ἀκόλουθον ταύτην αἰτίαν. Ἀφ' οὗ ὁ Λάζαρος ἀνέστη ἐκ τῶν νεκρῶν, πολλοί τό παράδοξον θαῦμα βλέποντες, ἐπίστευον εἰς τόν Χριστόν. Διά τοῦτο καί ἡ Συναγωγή τῶν Ἰουδαίων ἀπεφάσισαν νά φονεύσουν ὄχι μόνον τόν Χριστόν, ἀλλά καί τόν Λάζαρον αὐτόν. Ἀναχωρεῖ λοιπόν ὁ Ἰησοῦς ἀπό τό μέσον, διδούς τόπον εἰς τήν κακίαν. Ἔπειτα, καθώς λέγει ὁ Εὐαγγελιστής Ἰωάννης, πρό ἓξ ἡμερῶν τοῦ Πάσχα, ἦλθεν εἰς τήν Βηθανίαν, ὁποῦ ἦτον ὁ Λάζαρος ὁ τεθνηκώς, τόν ὁποῖον ἀνέστησεν ἐκ νεκρῶν. Ἐκεῖ τοῦ ἔκαμαν δεῖπνον, καί ἡ μέν Μάρθα ἡ ἀδελφή τοῦ Λαζάρου ὑπηρέτει, ἡ δέ Μαρία ἡ ἄλλη του ἀδελφή, ἤλειψε μέ τό πολύτιμον μῦρον τούς τιμίους του πόδας καί μέ τάς τρίχας τῆς κεφαλῆς της τούς ἀπεσπόγγισε. Καί τῇ ἐπαύριον ἀπέστειλε δύω του Μαθητάς, καί τοῦ ἔφεραν τήν ὄνον καί τόν πόλον, ἐπάνω εἰς τό ὁποῖον ἐκάθησεν ὁ ἔχων θρόνον τόν οὐρανόν, καί ὑποπόδιον τήν γῆν· καί οὕτω καθήμενος εἰσήρχετο εἰς τήν Ἱερουσαλήμ καί τά πλήθη τῶν Ἑβραίων ἔστρωσαν κατά γῆς τά φορέματά των εἰς τόν δρόμον, καί κλάδους ἐλαίων καί φοινίκων κόπτοντες, ἄλλους ἔῤῥιπτον εἰς τό μέσον τοῦ δρόμου, ἄλλους βαστῶντες εἰς τάς χεῖρας, ἔκραζον πρός αὐτόν, ὡσαννά τῷ Υἱῷ Δαβίδ· εὐλογημένος

ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Βασιλεύς τοῦ Ἰσραήλ. Καί τοῦτον τόν ὕμνον ἔλεγον, ὡς καί τά μικρά παιδία τά βυζανιάρικα, κινούμενα ἀπό τό πνεῦμα τό Ἅγιον, καθώς ἐπροφήτευσεν ὁ Προφητάναξ Δαβίδ λέγων, ἐκ στόματος νηπίων καί θηλαζόντων κατηρτήσω αἶνον. Βαΐον δέ παρ' Ἑβραίοις λέγεται ὁ ἁπαλός κλάδος, μέ τά ὁποῖα βαΐα, ἐφανέρωσαν ὅτι νικητής εἶναι τοῦ θανάτου ὁ Χριστός, καθώς ἦτον σύνηθες καί εἰς τούς ἔξω, μέ κλαδιφορίας, νά δέχωνται τούς νικητάς, καί νά τούς προπέμπωσιν. Ἐφανέρωνε δέ ὁ πῶλος, τόν ἐξ ἐθνῶν λαόν, ἐπάνω εἰς τόν ὁποῖον καθίσας ὁ Χριστός καί ἐπαναπαυθείς, νικητής, τροπαιοῦχος, καί Βασιλεύς πάσης τῆς γῆς ἀνεκήρυκται.

Περί ταύτης τῆς ἑορτῆς, καί ὁ Προφήτης Ζαχαρίας προηγόρευσε λέγων, χαῖρε σφόδρα θύγατερ Σιών· ἰδού ὁ Βασιλεύς σου ἔρχεταί σοι πραΰς, καί ἐπιβεβηκώς ἐπί ὑποζύγιον καί πῶλον νέον, υἱόν ὑποζυγίου. Ἐμβαίνοντος δέ, λέγει, τοῦ Χριστοῦ εἰς τήν Ἱερουσαλήμ, ἐσείσθη πᾶσα ἡ πόλις, καί οἱ ὄχλοι παρακεκινημένοι
172 ἀπό τούς Ἀρχιερεῖς, ἡτοιμάζοντο νά τόν φονεύσουν· ὅθεν ἐλάνθανεν αὐτούς, καί ποτέ μέν ἐκρύπτετο, ποτέ δέ ἐφαίνετο, καί διά παραβολῶν ἐλάλει πρός αὐτούς.

Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ Χριστέ ὁ Θεός ἡμῶν νικητάς ἡμᾶς ποίησον τῶν παραλόγων παθῶν· καί τήν σύν κατά τοῦ θανάτου νίκην, τήν φαιδράν σου καί ζωηφόρον Ἀνάστασιν ἰδεῖν καταξίωσον, καί ἐλέησον ἡμᾶς.

ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ

Τῇ ἁγίᾳ καί μεγάλῃ Δευτέρᾳ μνείαν ποιούμεθα τοῦ μακαρίου Ἰωσήφ τοῦ παγκάλου καί τῆς ὑπό τοῦ Κυρίου καταραθείσης καί ξηρανθείσης συκῆς.

Α΄

Ἀπό τῆς σήμερον ἀρχήν λαμβάνουσι τά ἅγια πάθη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὁ δέ Ἰωσήφ εἰς εἰκόνα τούτου πρῶτον παραλαμβάνεται. Οὗτος μέν οὖν υἱός ἦν ὕστερος τοῦ πατριάρχου Ἰακώβ, ἐκ τῆς Ῥαχήλ αὐτῷ γεννηθείς· παρά δέ τῶν ἰδίων ἀδελφῶν φθονηθείς ἔκ τινων ὀνειράτων, πρῶτα μέν εἰς ὄρυγμα λάκκου κρύπτεται, καί ὁ πατήρ αὐτοῦ παρά τῶν παίδων ἀπάτῃ διά τοῦ ᾑμαγμένου ἱματίου κλέπτεται, ὡς ὑπό θηρίου ἐβρώθη. Εἶτα τριάκοντα ἀργυρίοις πιπράσκεται τοῖς Ἰσμαηλίταις, οἵτινες πάλιν ἀπεμπολοῦσι τοῦτον Πετεφρῇ, τῷ ἀρχιευνούχῳ τοῦ βασιλέως τῆς Αἰγύπτου φαραώ. Ἐπιμανείσης δέ τῆς κυρίας αὐτοῦ ἐπί τῇ σωφροσύνῃ τοῦ νεανίσκου, ἐπεί μή τό παράνομον πρᾶξαι ἠθέλησε, τόν χιτῶνα καταλιπών ᾤχετο. Ἡ δέ τῷ κυρίῳ διαβάλλει αὐτόν, καί δεσμά καί φυλακή πικρά τοῦτον δέχεται. Εἶτα διά τῆς ἐπιλύσεως τῶν

ὀνειράτων ἐξάγεται, καί τῷ βασιλεῖ ἐμφανίζεται, καί κύριος πάσης τῆς Αἰγύπτου καθίσταται. Αὖθις δέ διά τῆς σιτοδοσίας τοῖς ἀδελφοῖς αὐτοῦ φανερός γίνεται, καί τό σύμπαν τῆς αὐτοῦ βιοτῆς ἀρίστως διαγαγών, ἐν Αἰγύπτῳ θνῄσκει, μέγας ἐπί σωφροσύνῃ πρός τοῖς ἄλλοις αὐτοῦ καλοῖς γνωριζόμενος.

Εἰκών δέ οὗτος τοῦ Χριστοῦ, ὅτι καί ὁ Χριστός παρά τῶν ὁμοφύλων Ἰουδαίων φθονεῖται, καί παρά τοῦ μαθητοῦ τριάκοντα ἀργυρίοις πιπράσκεται, καί εἰς τόν ζοφώδη καί σκοτεινόν λάκκον, τόν τάφον, ἐγκλείεται· κἀκεῖθεν αὐτεξουσίως ἀναῤῥαγείς, βασιλεύει τῆς Αἰγύπτου, κατά τῆς ἁμαρτίας δηλαδή πάσης, καί κατά κράτος ταύτην νικᾷ, τοῦ κόσμου τε παντός ἄρχει, καί φιλανθρώπως ἐξωνεῖται ἡμᾶς διά τῆς μυστικῆς σιτοδοσίας, ὡς ἑαυτόν ὑπέρ ἡμῶν δούς, καί ὅτι τρέφει ἡμᾶς οὐρανίῳ ἄρτῳ, τῇ αὐτοῦ ζωηφόρῳ σαρκί. Κατά τοῦτον οὖν τόν λόγον ὁ πάγκαλος Ἰωσήφ ἀρτίως παραλαμβάνεται.

174 Ἐνταυτῷ δέ καί τῆς ξηρανθείσης συκῆς μνείαν ποιούμεθα. Διότι οἱ θεῖοι εὐαγγελισταί, ὁ Ματθαῖος δηλαδή καί ὁ Μᾶρκος, μετά τήν τῶν βαΐων διήγησιν ἐπιφέρουσιν· ὁ μέν Μᾶρκος· *Τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπό Βηθανίας ἐπείνασε· καί ἰδών συκῆν μακρόθεν ἔχουσαν φύλλα, ἦλθεν εἰ ἄρα εὑρήσει τι ἐν αὐτῇ· καί ἐλθών οὐδέν εὗρεν εἰ μή φύλλα· οὐ γάρ ἦν καιρός σύκων· καί ἀποκριθείς εἶπεν αὐτῇ· Μηκέτι ἐκ*

σοῦ εἰς τόν αἰῶνα μηδείς καρπόν φάγοι. Ὁ δέ Ματθαῖος· *Πρωΐας δέ ἐπανάγων εἰς τήν πόλιν ἐπείνασε· καί ἰδών συκῆν μίαν ἐπί τῆς ὁδοῦ ἦλθεν ἐπ' αὐτήν, καί οὐδέν εὗρεν ἐν αὐτῇ, εἰ μή φύλλα μόνον· καί λέγει αὐτῇ· Μηκέτι ἐκ σοῦ καρπός γένηται εἰς τόν αἰῶνα. Καί ἐξηράνθη παραχρῆμα ἡ συκῆ.* Συκῆ οὖν ἐστιν ἡ συναγωγή τῶν Ἰουδαίων, ἐφ' ᾗ μή τόν ἀνήκοντα καρπόν ὁ Σωτήρ εὑρηκώς, εἰ μή μόνον τό σκιάζον τοῦ νόμου, καί τοῦτο ἀφείλετο ἀπ' αὐτῶν, ἀργήν παντάπασιν ἐργασάμενος.

Εἰ δέ τις ἔροιτο, διατί τό ἄψυχον ξύλον ξηρόν γέγονε, τήν κατάραν λαβόν, μή πταῖσαν, μανθανέτω ὅτι οἱ Ἰουδαῖοι, ὁρῶντες τόν Χριστόν ἀεί πάντας εὐεργετοῦντα, μή τινι δέ τό τυχόν λυπηρόν ἐργασάμενον, ἐνόμιζον μόνον δύναμιν ἔχειν εὐεργετεῖν, κακοποιεῖν δέ οὔ· φιλάνθρωπος δέ ὢν ὁ Δεσπότης, οὐκ ἠθέλησεν ἐπ' ἀνθρώπῳ δεῖξαι καί τοῦτο δύνασθαι. Ἵνα τοίνυν πείσῃ τόν ἀχάριστον δῆμον ὅτι ἔχει δύναμιν καί πρός τιμωρίαν ἀρκοῦσαν, ὡς δέ ἀγαθός οὐ βούλεται, εἰς ἄψυχον καί ἀναίσθητον φύσιν τήν τιμωρίαν ἐργάζεται.

Ἅμα δέ καί ἀπόῤῥητός τις λόγος ἐστί, παρά γερόντων σοφῶν εἰς ἡμᾶς διαφοιτήσας, ὥς φησιν ὁ Πηλουσιώτης Ἰσίδωρος, ὅτι τό ξύλον τῆς παραβάσεως τοῦτο ἦν, οὗ καί τοῖς φύλλοις εἰς σκέπην οἱ παραβάντες ἐχρήσαντο. Ὅθεν καί κατηράθη παρά Χριστοῦ φιλανθρώπως, ἐπειδή τότε τοῦτο οὐκ ἔπαθε, μηκέτι καρπόν

ἐνεγκεῖν αἴτιον ἁμαρτίας. Ὅτι δέ ἡ ἁμαρτία πρός τήν συκῆν ἀπεικάζεται, εὔδηλον· ἔχει γάρ τό γλυκάζον τῆς ἡδονῆς, τό κολλητικόν τῆς ἁμαρτίας, καί τό τραχύνον ὕστερον καί δριμύσσον διά τῆς συνειδήσεως.

Πλήν τοῖς πατράσιν ἐνταῦθα ἡ τῆς συκῆς ἱστορία διά κατάνυξιν τέθειται, ὡς ὁ Ἰωσήφ διά τό τύπον φέρειν Χριστοῦ. Ἔστι δέ συκῆ ψυχή πᾶσα παντός πνευματικοῦ καρποῦ ἄμοιρος· ἐν ᾗ πρωΐας, κατά τήν παροῦσαν δηλαδή ζωήν, μή εὑρίσκων ὁ Κύριος ἀνάπαυσιν ἐπ᾽ αὐτήν, ξηραίνει αὐτήν δι᾽ ἀρᾶς, καί εἰς τό αἰώνιον παραπέμπει πῦρ, καί στήλη τις ἵσταται κατεξηραμένη, δειμαίνουσα τούς μή πράσσοντας τόν ἀνήκοντα τῆς ἀρετῆς καρπόν.

Ταῖς τοῦ παγκάλου Ἰωσήφ πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

176 Ἐν τῇ Ἁγίᾳ καί Μεγάλῃ Δευτέρᾳ φέρομεν εἰς τήν ἐνθύμησίν μας δύω ἱερά διηγήματα, ἕν τοῦ μακαρίου Ἰωσήφ τοῦ Παγκάλου υἱοῦ τοῦ Πατριάρχου Ἰακώβ, καί ἄλλο τῆς ξηρανθείσης συκῆς, ὁποῦ διηγοῦνται τά ἱερά Εὐαγγέλια· καί ἐκ τούτων κάνομεν ἀρχήν τῶν ἁγίων Παθῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ Ἰωσήφ παραλαμβάνεται εἰς τύπον τοῦ Χριστοῦ· ὅτι υἱός μέν ἐστάθη τελευταῖος ὁ Ἰωσήφ τοῦ Πατριάρχου Ἰακώβ,

ἐκ τῆς Ῥαχήλ γεννηθείς, ἐφθονήθη δέ ἀπό τούς ἰδίους του ἀδελφούς, ἐξ αἰτίας τινῶν ὀνείρων, ὁποῦ εἶδε καί τά ἐδιηγήθη εἰς αὐτούς, τά ὁποῖα ἐφανέρωνον, πώς ἔχουν νά τόν προσκυνήσουν. Καί πρῶτον μέν τόν ἔβαλον μέσα εἰς ἕνα ξηρόλακκον, τάχα μή θέλοντες νά τόν θανατώσουν, μετά ταῦτα ἐκβάλοντές τον ἀπό τόν λάκκον τόν ἐπώλησαν σκλάβον εἰς τούς Ἰσμαηλίτας, διά τριάκοντα ἀργύρια, καί αἱματώσαντες τό φόρεμά του μέ αἷμα προβάτου, μέ αὐτό ἠπάτησαν τόν γέροντα πατέρα του, καί τόν ἔκαμαν νά πιστεύσῃ πώς τόν ἔφαγον τά θηρία ἔξω εἰς τήν ἔρημον. Οἱ δέ Ἰσμαηλῖται πηγαίνοντες εἰς τήν Αἴγυπτον, τόν ἐπώλησαν καί εἰς τόν Ἀρχιευνοῦχον τοῦ Βασιλέως, ὀνομαζόμενον Πεντεφρῆ. Τούτου τό κάλλος βλέπουσα ἡ κυρία του γυνή τοῦ Πεντεφρῆ, δέν ἐδυνήθη νά κρατήσῃ τόν ἑαυτόν της, ἀλλά φανερά καί μέ λόγια, καί μέ τά χέρια τόν ἐτράβηξεν εἰς τήν πρᾶξιν τοῦ κακοῦ. Ἐπειδή δέ ἐκεῖνος θεοσεβής ὤν, δέν ἔκλεινεν εἰς τήν παράνομον μίξιν, ἀλλά καί τό φόρεμά του ἀφῆκεν εἰς τάς χεῖράς της, καί ἔφυγεν ἔξω, ἐκεῖ ἡ ἤναψεν ἀπό θυμόν, καί τρόπον τινά μανική γενομένη, ὅλον τό ἐναντίον ἐβόα, πώς ἐκεῖνος ἐβίασεν αὐτήν· καί ταύτην τήν ψευδοκατηγορίαν ἔκαμεν εἰς τόν Πεντεφρῆ παραστήσασα καί ψευδομάρτυρας τάς θεραπαινίδας της, καθώς αὐτή τάς ἐδίδαξεν πρότερον. Καί λοιπόν, ἐκ προσταγῆς τοῦ αὐθέντου του Πεντεφρῆ, δεσμά δέ καί φυλακή σκοτεινή τόν ἀθῶον

Ἰωσήφ δέχεται· ἔπειτα, μέ τήν ἐπίλυσιν τῶν ὀνείρων, ὁποῦ ἐκεῖ εἰς τήν φυλακήν τινῶν βασιλικῶν καταδίκων ἔκαμε τόν ἐκβάλουν ἀπό τήν φυλακήν, καί εἰς τόν βασιλέα παῤῥησιάζεται, καί Κύριος πάσης γῆς Αἰγύπτου γίνεται. Καί ἐπειδή εἰς αὐτόν ἐδόθη ἡ ἐξουσία τοῦ σίτου, καί πανταχόθεν ἤρχοντο καί ἔπερναν ἀπό αὐτόν σῖτον· ἐκ ταύτης τῆς ἀφορμῆς, πάλιν ἔγινεν εἰς τούς ἀδελφούς του φανερός, καί ὁ γέρων πατήρ του Ἰακώβ, μέ ὅλην του τήν φαμελίαν ἐκεῖ κατέβη καί τόν ἀπήλαυσε· καί μετά ταῦτα πάντα ὅλην του τήν ζωήν ἄριστα διαπεράσας, ἐκεῖ εἰς τήν Αἴγυπτον ἐτελεύτησε, κοντά εἰς τά ἄλλα του καλά, μέγας καί διά τήν σωφροσύνην του γνωριζόμενος. Τύπος λοιπόν τοῦ Χριστοῦ ὁ Ἰωσήφ οὗτος, ὅτι καί ὁ Χριστός παρά τῶν ὁμοφύλων Ἰουδαίων φθονεῖται, καί παρά τοῦ μαθητοῦ τριάκοντα ἀργυρίοις πωλεῖται, καί εἰς τόν σκοτεινόν λάκκον, τόν τάφον ἐγκλείεται, καί αὐτεξουσίως ἐκεῖθεν ἐκπηδήσας βασιλεύει τῆς Αἰγύπτου, δηλαδή, κατά πάσης τῆς ἁμαρτίας, καί Κύριος καθίσταται ὅλου τοῦ κόσμου, καί ἐξαγοράζει ἡμᾶς διά τήν φιλανθρωπίαν του, μέ τήν μυστικήν σιτοδοσίαν, ὡσάν ὁποῦ ἔδωκεν ἑαυτόν ὑπέρ ἡμῶν· καί μέ οὐράνιον ἄρτον τρέφει ἡμᾶς δηλαδή μέ τήν ζωηφόρον σάρκα του. Διά ταύτην λοιπόν τήν αἰτίαν ὁ Πάγκαλος Ἰωσήφ, ἐνταῦθα παραλαμβάνεται. Ἐνταὐτῷ καί τήν ἐνθύμησιν τῆς ξηρανθείσης συκῆς ποιοῦμεν· ἐπειδή οἱ θεῖοι Εὐαγγελισταί, ὁ Ματθαῖος

δηλαδή καί ὁ Μᾶρκος, μετά τήν διήγησιν τῶν Βαΐων λέγουσι περί αὐτῆς. Ὁ μέν Ματθαῖος, ὅτι τῇ ἐπαύριον, ἤγουν τῇ Δευτέρᾳ, ἐξελθόντων αὐτῶν ἀπό Βηθανίας, ἐπείνασε, καί ἰδών συκῆν φύλλα μόνον ἔχουσαν· ὁ δέ ἄλλος, ἤτοι ὁ Μᾶρκος, ὅτι πρωΐας δέ ἐπανάγων ἐπί τήν πόλιν, ἐπείνασε, καί ἰδών συκῆν φύλλα μόνον ἔχουσαν, ὅτι καιρός σύκων δέν ἦτον, ἦλθεν ἐπ' αὐτήν, καί ἐπειδή καρπόν δέν εὗρεν εἰς αὐτήν, εἶπε, πλέον εἰς τό ἑξῆς, ἄς μή γένῃ καρπός ἀπό ἐσέ εἰς τόν αἰῶνα· καί παρευθύς ἐξηράνθη ἡ συκῆ. Συκῆ, λοιπόν ἐννοεῖται πώς ἦτον ἡ συναγωγή τῶν Ἰουδαίων· εἰς τήν ὁποίαν ὁ Σωτήρ, ἐπειδή τόν πρέποντα καρπόν δέν εὗρεν ἔξω μόνον τήν σκιάν τοῦ νόμου, τήν ἐσήκωσε καί αὐτήν ἀπό αὐτούς, καί παντάπασιν ἀργήν τήν κατέστησε. Ἀνίσως δέ κανείς ἤθελεν ἐρωτήσει, διατί τό ἄψυχον ξύλον, ὁποῦ δέν ἔπταισε τίποτε, ἔλαβε τήν κατάραν, καί ἐξηράνθη, ἄς μάθῃ ὁ τοιοῦτος, ὅτι οἱ Ἑβραῖοι βλέποντες, ὅτι ὁ Χριστός πάντοτε εὐεργεσίας ἔκανε, καί εἰς κανένα δέν ἔκαμεν οὐδέ τό παραμικρόν λυπηρόν, ἐνόμιζον, ὅτι μόνον εὐεργετικήν δύναμιν ἔχει, ἀλλ' ὄχι καί τιμωρητικήν· ὢν δέ φιλάνθρωπος ὁ Δεσπότης, δέν ἠθέλησε νά δείξῃ μέ τό ἔργον ἐπάνω εἰς ἄνθρωπον, ὅτι δύναται καί νά κακοποιήσῃ· καί λοιπόν, διά νά δείξῃ εἰς τόν ἀχάριστον λαόν, ὅτι καί δύναμιν ἔχει ἀρκετήν εἰς τιμωρίαν, διά τοῦτο εἰς ἄψυχον καί ἀναίσθητον φύσιν τήν τιμωρίαν ἐργάζεται. Ἐνταὐτῷ δέ, καί ἄλλος λόγος

ἀπόκρυφος φέρεται, ἀπό σοφούς γέροντας, εἰς ἡμᾶς φθάσας, καθώς λέγει ὁ Πηλουσιώτης Ἰσίδωρος, ὅτι τό ξύλον ἐκεῖνο τῆς παραβάσεως, τοῦτο ἦτον δηλαδή ἡ συκῆ, τῆς ὁποίας τά φύλλα οἱ παραβάντες τήν ἐντολήν, εἰς σκέπην μετεχειρίσθησαν· ὅθεν καί κατηράσθη παρά Χριστοῦ, νά κάμῃ πλέον καρπόν αἴτιον ἁμαρτίας. Ὅτι δέ ἡ ἁμαρτία ἔχει μέ τήν συκῆν κάποιαν ὁμοιότητα, εἶναι φανερόν· ὅτι καί τό γλυκύ τῆς ἡδονῆς ἔχει, καί τό κολλητικόν τῆς ἁμαρτίας, καί τό τραχύ, καί κεντιστικόν τῆς συνειδήσεως, μετά τήν πρᾶξιν τῆς ἁμαρτίας. Ὅμως οἱ θεῖοι Πατέρες τήν ἱστορίαν τῆς συκῆς ἔβαλαν ἐδῶ διά κατάνυξιν, καθώς τόν Ἰωσήφ, διατί ἔχει τόν τύπον τοῦ Χριστοῦ· ἀλλά καί πᾶσα ψυχή, συκῆ λέγεται, ἐκείνη ὁποῦ εἶναι ἄμοιρος καί ἔρημος ἀπό κάθε πνευματικόν ἀγαθόν· εἰς τήν ὁποίαν, πρωΐας, ἤγουν εἰς τήν παροῦσαν ζωήν, μή εὑρίσκων ὁ Κύριος ἀνάπαυσιν εἰς αὐτήν, τήν καταρᾶται καί τήν ξηραίνει, καί τήν καταδικάζει εἰς τό πῦρ τό αἰώνιον. Ταῖς τοῦ Παγκάλου Ἰωσήφ πρεσβείαις Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΡΙΤΗ

Τῇ ἁγίᾳ καί μεγάλῃ Τρίτῃ, τῆς τῶν δέκα Παρθένων παραβολῆς, τῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου, μνείαν ποιούμεθα.

Α΄

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀναβαίνων εἰς τά Ἱεροσόλυμα, καί ἐπί τό Πάθος ἐρχόμενος, τάς τοιαύτας παραβολάς τοῖς ἰδίοις Μαθηταῖς ἔλεγεν. Εἰσί δέ ἅς καί πρός Ἰουδαίους ἀπέτεινε. Τήν γε μήν τῶν δέκα Παρθένων παραβολήν εἰς ἐλεημοσύνην προτρέπων εἴρηκεν, ὁμοῦ διδάσκων, καί πρό τοῦ τέλους ἅπαντας ἑτοίμους εἶναι. Ἐπειδή γάρ περί παρθενίας πολλά διεξήει αὐτοῖς, καί περί εὐνούχων (πολλήν δέ καί τήν δόξαν ἡ παρθενία ἔχει· μέγα γάρ ἐστιν ὡς ἀληθῶς)· ἵνα μή τις τοῦτο τό ἔργον κατορθῶν, ἀμελῇ τῶν ἄλλων, καί μάλιστα τῆς ἐλεημοσύνης, δι᾽ ἧς ἡ λαμπάς τῆς παρθενίας φαιδρύνεται, εἰσάγει τό ἱερόν Εὐαγγέλιον τήν παραβολήν ταύτην· καί τάς μέν πέντε, φρονίμους ἀναγορεύει, ὡς, μετά τῆς παρθενίας, καί πολύ καί δαψιλές τό τῆς ἐλεημοσύνης ἔλαιον προβαλλομένας· τάς δέ πέντε, μωράς, ὡς καί αὐτάς παρθενίαν μέν ἐχούσας,

οὐ μήν καί τήν ἐλεημοσύνην ἀνάλογον· διά τοῦτο γάρ μωραί, ὅτι τό μέγιστον κατορθώσασαι, τοῦ ἐλάττονος ἠμέλησαν, καί οὐδέν τῶν πορνῶν διέφερον. Ὅτι ἐκεῖναι μέν σωμάτων, αὗται δέ χρημάτων ἡττήθησαν. Τῆς δέ νυκτός τοῦ παρόντος βίου διατρεχούσης, ἐνύσταξαν πᾶσαι αἱ Παρθένοι, τοὐτέστιν ἀπέθανον· ὕπνος γάρ ὁ θάνατος λέγεται. Καί καθευδουσῶν αὐτῶν, κραυγή περί μέσης νυκτός ἐγένετο, καί αἱ μέν δαψιλῶς τό ἔλαιον προβαλλόμεναι, τῶν θυρῶν ἀναπετασθεισῶν, συνεισῆλθον τῷ Νυμφίῳ· αἱ δέ μωραί, μή ἀρκοῦν τό ἔλαιον ἔχουσαι, μετά τόν ὕπνον ἐζήτουν αὐτό. Ἀλλ᾽ αἱ φρόνιμοι, βουλόμεναι μέν δοῦναι, μή δυνάμεναι δέ, πρίν εἰσελθεῖν, ἀπεκρίναντο λέγουσαι· Μήποτε οὐκ ἀρκέση ἡμῖν, καί ὑμῖν, πορεύεσθε πρός τούς πωλοῦντας, τοὐτέστι τούς πένητας, καί ἀγοράσατε ἀλλ᾽ οὐκ εὔκολον· μετά γάρ τόν θάνατον, τοῦτο οὐ δυνατόν· Ὅ δή καί ἐπί τῷ Πλουσίῳ, καί τῷ Λαζάρῳ δείκνυσιν ὁ Ἀβραάμ, πάντως, Ἀλλ᾽ αἱ μωραί, προσιοῦσαι ἀφώτιστοι, οὕτω
182 βοῶσι, τάς πύλας ἀράσσουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Αὐτός δέ ὁ Κύριος, δι᾽ αὐτοῦ τήν φρικτήν ἐκείνην ἀπόφασιν δίδοσιν, Ἀπέλθετε, εἰπών, οὐκ οἶδα ὑμᾶς· πῶς γάρ ἄν ἰδῆτε τόν Νυμφίον, μή προῖκα ἔχουσαι, τήν ἐλεημοσύνην αὐτήν; Διά τοῦτον οὖν τόν τρόπον, ἡ παραβολή τῶν δέκα Παρθένων ἐνταῦθα κεῖσθαι τοῖς θεοφόροις Πατράσιν ἐτάχθη, παιδεύουσα ἡμᾶς ἀεί ἐγρηγορέναι, καί ἑτοίμους εἶναι πρός τήν ὑπάντησιν

τοῦ ἀληθινοῦ Νυμφίου, διά τῶν ἀγαθῶν πράξεων, καί μᾶλλον τῆς ἐλεημοσύνης, ὅτι ἄδηλος ἡ ἡμέρα καί ὥρα τοῦ τέλους· ὥσπερ καί διά τοῦ Ἰωσήφ, σωφροσύνης ἀντιποιεῖσθαι, καί διά τῆς συκῆς, καρπόν πνευματικόν προβάλλεσθαι. Ὁ γάρ ἔργον ἕν καί μέγιστον ἴσως ἄν ἐργαζόμενος, τῶν δέ ἄλλων καταφρονῶν, καί μᾶλλον τῆς ἐλεημοσύνης, οὐκ εἰσέρχεται σύν Χριστῷ εἰς τήν αἰώνιον ἀνάπαυσιν, ἀλλ᾽ ὑποστρέφει κατησχυμμένος· οὐδέ γάρ ἀνιαρώτερον, καί αἰσχύνης ἀνάπλεων, παρθενίας ἠττωμένης χρημάτων.

Ἀλλ᾽ ὦ Νυμφίε Χριστέ, μετά τῶν φρονίμων ἡμᾶς συναρίθμησον Παρθένων, καί τῇ ἐκλεκτῇ σου σύνταξον ποίμνῃ, καί ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Ἡ Ἁγία καί Μεγάλη Τρίτη, ὑπόθεσιν ἔχει καθ᾽ αὐτό τήν παραβολήν τῶν δέκα Παρθένων· ἐπειδή καί ὁ Κύριος, εἰς τά Ἱεροσόλυμα ἀναβαίνων, καί εἰς τό πάθος ἐρχόμενος, ἔλεγεν εἰς τούς Μαθητάς του, τάς τοιαύτας παραβολάς· μερικάς δέ, καί τούς Ἰουδαίους ἀποβλέπων, ἔλεγε. Τήν παραβολήν δέ τῶν δέκα Παρθένων, εἰς ἐλεημοσύνην, παρακινῶν ἔλεγε, διδάσκων ἐνταυτῷ καί πρίν μᾶς φθάσῃ τό τέλος τοῦ θανάτου, νά εἴμεθα ἕτοιμοι· διότι, ἐπειδή περί Παρθενίας, καί περί

εὐνούχων πολλά ἐδίδαξε, καί πολλήν ἔχει τήν δόξαν ἡ Παρθενία· ὅτι καί κατά ἀλήθειαν, μέγα κατόρθωμα εἶναι ἡ Παρθενία, διά νά μή τύχῃ καί κανείς τήν ἀρετήν κατορθώνων, ἤθελεν ἀμελήσει τάς ἄλλας ἀρετάς, καί μάλιστα τήν ἐλεημοσύνην, μέ τήν ὁποίαν λάμπει τῆς Παρθενίας, ἡ λαμπάς· διά τοῦτο, τό Ἱερόν Εὐαγγέλιον, προβάλλει εἰς ἡμᾶς τήν παραβολήν ταύτην, καί τάς μέν πέντε παρθένους, φρονίμους ἀνακηρύττει, ὡσάν ὁποῦ, κοντά εἰς τό καλόν τῆς Παρθενίας, ἐφρόντισαν καί εἶχον, πολύ καί πλουσιοπάροχον, καί τό ἔλαιον τῆς ἐλεημοσύνης· τάς δέ ἄλλας πέντε παρθένους, ὠνόμασε μωράς, ὡσάν ὁποῦ εἶχον μέν καί αὐταί τό κατόρθωμα τῆς Παρθενίας, ὅμως ἐλεημοσύνην δέν εἶχον ἱκανήν, καί ὅσην ἔπρεπε νά ἔχουν· καί διά τοῦτο τάς ὠνόμασε μωράς, ἤγουν ἀνοήτους, ἐπειδή τό μεγαλώτατον καί δυσκολώτατον ἔργον εἶχον κατορθώσει, τό δέ μικρότερον καί εὐκολώτερον δηλαδή τήν ἐλεημοσύνην, κατεφρόνησαν, καί διαφοράν δέν εἶχον ἀπό τάς πόρνας·
184 ὅτι αἱ μέν πόρναι νικῶνται ἀπό σώματα, αὐταί δέ αἱ ἀνελεήμονες, ἀπό τά ἄσπρα ἐνικήθησαν, πηγαίνουσα δέ ἡ νύξ τῆς παρούσης ζωῆς πρός τό τέλος, ἐνύσταξαν ὅλαι αἱ παρθένοι, καί ἐκάθευδον, ἤγουν ἀπέθανον, ὅτι ὕπνος ὁ θάνατος λέγεται· ἔπειτα εἰς τό μέσον τῆς νυκτός, ἠκούσθη φωνή, ὁποῦ ἔλεγεν, ἐγείρεσθε, ἰδού ὁ Νυμφίος, ἐξέλθετε εἰς ἀπάντησιν. Τότε, οἱ παρθένοι ἐκεῖναι, ὁποῦ εἶχον πολύ τό ἔλαιον, εὐθύς ὁποῦ

ἠνοίχθησαν αἱ θύραι, ἐμβῆκαν εἰς τόν Νυμφῶνα ὁμοῦ μέ τόν Νυμφίον· αἱ δέ μωραί ὁποῦ δέν εἶχον ἀρκετόν ἔλαιον, ἀφ' οὗ ἐξύπνησαν, ἐζήτουν τό ἱκανόν ἀπό τάς φρονίμους· ὅμως ἐκεῖναι ἤθελον μέν νά ταῖς δώσουν, ὅμως δέν ἠδύναντο, πρό τοῦ νά εἰσέλθωσιν, ὅθεν καί ἀπεκρίθησαν λέγουσαι, φοβούμεθα, μή τύχῃ καί δέν φθάσει, καί ἡμᾶς καί ἐσᾶς· διά τοῦτο, ὑπάγετε εἰς ἐκείνους ὁποῦ τό πωλοῦν, ἤγουν εἰς τούς πένητας, καί ἀγοράσατε· ἀλλά δέν εἶναι εὔκολον, μάλιστα εἶναι τοῦτο καί ἀδύνατον, μετά θάνατον, καθώς ὁ Ἀβραάμ περί τοῦ Πλουσίου καί τοῦ Λαζάρου, ἀπεφάσισε. Λοιπόν αἱ μωραί σκοτειναί ἐλθοῦσαι, κτυποῦσι τήν πόρταν, καί φωνάζουσι, Κύριε Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δέ Κύριος αὐτός ὁ ἴδιος, τούς κάνει ἐκείνην τήν τρομεράν ἀπόφασιν, λέγων, οὐκ οἶδα ὑμᾶς· φύγετε μακράν ἀπό λόγου μου· ἐγώ δέν σᾶς γνωρίζω, ἐπειδή προῖκα δέν ἔχετε τήν ἐλεημοσύνην. Διά ταύτην λοιπόν τήν αἰτίαν, ἡ παραβολή αὕτη τῶν δέκα παρθένων, διωρίσθη ἐδῶ ὑπό τῶν θεοφόρων Πατέρων, νά ἀναγινώσκηται, διά τῆς ὁποίας διδασκόμεθα, πάντοτε νά εἴμεθα ἔξυπνοι καί ἕτοιμοι, πρός τήν ὑπάντησιν του νοητοῦ Νυμφίου τῶν ψυχῶν, καί μέ τάς ἄλλας ἀγαθάς πράξεις, καί ἐξαιρέτως, μέ τήν ἐλεημοσύνην, ὅτι ἄδηλος ἡ ἡμέρα καί ἡ ὥρα τοῦ τέλους μας· διότι, πρέπει νά ἠξεύρωμεν, ἐκεῖνος ὁποῦ ἴσως κατορθώσει ἕν ἔργον μεγαλώτατον, καί ἔπειτα καταφρονεῖ τά ἄλλα, καί μάλιστα τήν ἐλεη-

μοσύνην, δέν ἀξιώνεται νά εἰσέλθῃ ὁμοῦ μέ τόν Χριστόν εἰς τήν αἰώνιον ἀνάπαυσιν, ἀλλά γυρίζει ὀπίσω μέ ἐντροπήν ἀθεράπευτον· ὅτι ἄλλο τίποτες πλέον λυπηρόν, καί πλέον ἐντροπιασμένον πρᾶγμα δέν ἠμπορεῖ νά ἦναι, ὡσάν τήν Παρθενίαν, ὁποῦ νικᾶται ἀπό τῶν χρημάτων τόν ἔρωτα. Ἀλλ' ὦ Νυμφίε Χριστέ, μετά τῶν φρονίμων σου Παρθένων, ἀξίωσον νά συναριθμήσῃς καί ἡμᾶς τοῦ ἀναξίους, καί ἐλέησον ἡμᾶς, ὡς μόνος φιλάνθρωπος. Ἀμήν.



ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΕΤΑΡΤΗ

Τῇ ἁγίᾳ καί μεγάλῃ Τετάρτῃ τῆς ἀλειψάσης τόν Κύριον μύρῳ πόρνης γυναικός μνείαν ποιεῖσθαι οἱ θειότατοι πατέρες ἐθέσπισαν, ὅτι πρό τοῦ σωτηρίου πάθους μικρόν τοῦτο γέγονε.

Α΄

Ἀναβαίνοντος τοῦ Κυρίου εἰς Ἱεροσόλυμα, καί ἐν τῇ οἰκίᾳ τοῦ λεπροῦ γενομένου Σίμωνος, πόρνη γυνή αὐτῷ προσῆλθε, καί κατέχεεν ἐπί τῆς κεφαλῆς αὐτοῦ τό πολύτιμον ἐκεῖνο μύρον. Τέτακται οὖν διά τοῦτο ἐνταῦθα, ἵνα κατά τόν τοῦ Σωτῆρος λόγον ἁπανταχοῦ καί ἐν πᾶσι τό ἐκείνης θερμότατον ἔργον ἀνακηρύττηται. Πόθεν δέ κινηθεῖσα ἦλθε; διότι τό συμπαθές τοῦ Χριστοῦ ἑώρα καί τό πρός πάντας κοινωνικόν, καί νῦν μάλιστα, ὅτε καί πρός οἰκίαν αὐτόν λεπροῦ εἰσαχθέντα εἶδεν, ὃν ἀκάθαρτον καί ἀπηγορευμένον εἰς κοινωνίαν ὁ νόμος διεκελεύετο. Ἀνελογίσατο τοίνυν ἡ γυνή, ὡς ἐκείνῳ τήν λέπραν, οὕτω καί ταύτῃ τήν τῆς ψυχῆς ἀνέξεται νόσον. Καί δή, ἀνακειμένου ἐπί τοῦ δείπνου, κατά τῆς κορυφῆς αὐτοῦ χέει τό μύρον, ὡσεί τιμῆς ὂν τριακοσίων δηναρίων, ἤτοι ἑξήκοντα ἀσσαρίων, νο-

μισμάτων δέκα, ἀργυρίων τριῶν· ἦν οἱ μαθηταί ἐπετίμησαν, καί μᾶλλον ὁ Ἰούδας. Ἀλλ' ὁ Χριστός αὐτῆς ἀντελάβετο, ἵνα μή τόν καλόν αὐτῆς σκοπόν ἀνακόψωσιν. Εἶτα καί τοῦ ἐνταφιασμοῦ αὐτοῦ μνημονεύει, τόν Ἰούδαν ἀποτρέπων τῆς προδοσίας, καί τήν γυναῖκα τιμῆς ἀξιῶν, τό τῆς οἰκουμένης ἁπανταχοῦ τό ταύτης χρηστόν ἔργον ἀνακηρύττεσθαι.

Ἰστέον δέ ὅτι ἡ γυνή αὕτη μία μέν δοκεῖ τισιν εἶναι παρά τοῖς εὐαγγελισταῖς ἅπασιν, οὐκ ἔστι δέ. Ἀλλά παρά μέν τοῖς τρισίν, ὥς φησιν ὁ θεῖος Χρυσόστομος, μία καί ἡ αὐτή ἐστιν, ἥ καί πόρνη οὕτως ὠνόμασται. Παρά δέ τῷ Ἰωάννῃ οὐκέτι, ἀλλ' ἑτέρα τις θαυμαστή καί βίον ἔχουσα σεμνόν, Μαρία ἡ ἀδελφή τοῦ Λαζάρου, ἥ οὐκ ἄν πόρνη οὖσα Χριστῷ ἠγαπᾶτο. Τούτων δέ ἡ μέν Μαρία πρό ἕξ ἡμερῶν τοῦ Πάσχα, ἐν τῇ κατά τήν Βηθανίαν οἰκίᾳ αὐτῆς ἐπί δείπνου ἀνακειμένου, τήν τοῦ μύρου χρίσιν ἐνήργησε, κατά τῶν ἐκείνου ὡραίων ποδῶν τοῦτο ἐκχέουσα, καί ταῖς τῆς κεφαλῆς θριξί τούτους ἐκμάσσουσα, ὑπερβολῇ τιμῆς πρός αὐτόν χρωμένη, καί οἷα Θεῷ τό μύρον προσφέρουσα. Ἠπίστατο γάρ ἀκριβῶς, ὅτι καί ἐν ταῖς θυσίαις προσήγετο ἔλαιον τῷ Θεῷ, καί οἱ ἱερεῖς μύρῳ ἐχρίοντο, καί ὁ Ἰακώβ πάλαι στήλην ἤλειψε τῷ Θεῷ· προσήγαγε δέ τοῦτο χαριζομένη δῆθεν τῷ διδασκάλῳ οἷα Θεῷ, τῆς τοῦ ἀδελφοῦ παλινζωΐας εἵνεκα. Διόπερ καί οὐδέ μισθός αὐτῇ ἐπαγγέλεται· ὅτε δή καί μόνος ὁ Ἰούδας γογγύζει ὡς

φιλοχρήματος. Ἡ δέ ἑτέρα, ἡ πόρνη δηλαδή, πρό δύο ἡμερῶν τοῦ Πάσχα, ἐν τῇ αὐτῇ Βηθανίᾳ ἔτι ὄντι τῷ Χριστῷ, κἄν τῇ οἰκίᾳ τοῦ λεπροῦ γενομένῳ Σίμωνος, ἐπί δείπνου καί τότε ἀνακειμένῳ, τό πολύτιμον ἐκεῖνο μύρον ἐπί τῆς κεφαλῆς καταχέει, ὡς ὁ ἱερός Ματθαῖος καί ὁ Μᾶρκος ἱστόρησαν. Ἐπί ταύτῃ δέ τῇ πόρνῃ οἱ μαθηταί ἀγανακτοῦσι, τό πρός ἐλεημοσύνην Χριστῷ κατεσπουδασμένον ἀκριβῶς διειδότες· ταύτῃ δή καί μισθός ἐδόθη τό τῆς οἰκουμένης ἁπανταχοῦ τό καλόν ἔργον αὐτῆς περιᾴδεσθαι.

Οἱ μέν οὖν μίαν, ὁ δέ τήν γλῶτταν χρυσοῦς οὕτω δή δύο τάς γυναῖκας φησίν· εἰσί δέ οἵ καί οἱ τρεῖς αὐτάς λέγουσι· δύο μέν τάς προειρημένας, τοῦ πάθους τοῦ Κυρίου ἐπί θύραις ἐγγίζοντος, τρίτην δέ ἄλλην πρό τούτων, μᾶλλον δέ πρώτην, περίπου τά μέσα τοῦ εὐαγγελικοῦ κηρύγματος τοῦτο πεποιηκυῖαν, ἥ καί πόρνη καί ἁμαρτωλός ἦν· ἔνδον δέ τῆς οἰκίας οὐ τοῦ λεπροῦ, ἀλλά τοῦ φαρισαίου Σίμωνος, κατά τῶν τοῦ Χριστοῦ ποδῶν αὐτοῦ μόνον καί αὐτή τό μῦρον ἐγχέουσα· ὅτε καί μόνος ὁ φαρισαῖος ἐσκανδαλίζετο· ᾗ τινι καί μισθόν ὁ Σωτήρ τήν ἄφεσιν τῶν ἁμαρτημάτων δωρεῖται. Περί δέ ταύτης μόνης ὁ θεῖος Λουκᾶς ἐν τῷ κατ᾽ αὐτόν Εὐαγγελίῳ περί τά μέσα, ὡς εἴρηται, ἱστορεῖ· καί γάρ μετά τήν τῆς πόρνης ταύτης διήγησιν εὐθύς ἐπάγει οὑτωσί λέγων· *Καί ἐγένετο ἐν τῷ καθεξῆς, καί αὐτός διώδευε κατά πόλιν καί κώμην, εὐαγγελιζόμενος καί*

κηρύσσων τήν βασιλείαν τοῦ Θεοῦ. Ἐξ ὧν δείκνυται μή ἐν τῷ τοῦ πάθους τοῦτο γεγενῆσθαι καιρῷ.

Δοκεῖ οὖν καί ἀπό τοῦ καιροῦ καί ἀπό τῶν ὑποδεξαμένων τοῦτον καί ἀπό τοῦ τόπου, καί προσώπων καί οἰκιῶν, ἔτι δέ καί ἀπό τοῦ τρόπου τῆς τοῦ μύρου χρίσεως τρεῖς εἶναι τάς γυναῖκας ταύτας, δύο μέν πόρνας, τήν δέ τρίτην Λαζάρου εἶναι τήν ἀδελφήν Μαρίαν, βίῳ περιλαμπομένην σεμνῷ. Καί ἄλλην μέν οἰκίαν εἶναι τήν τοῦ φαρισαίου Σίμωνος, ἑτέραν δέ τήν τοῦ λεπροῦ Σίμωνος ἐν τῇ Βηθανίᾳ, καί ἄλλην πάλιν οἰκίαν Μαρίας καί Μάρθας, τῶν ἀδελφῶν τοῦ Λαζάρου, ἐν τῇ αὐτῇ Βηθανίᾳ. Ὥστε ἐκ τούτων συνάγειν ἐστίν, ὅτι καί δύο δεῖπνα ἐγένοντο τῷ Χριστῷ, καί ἄμφω δέ ἐν Βηθανίᾳ. Τό μέν ἕν πρό ἓξ ἡμερῶν τοῦ Πάσχα ἐν τῇ τοῦ Λαζάρου οἰκίᾳ, ὅτε συνήσθιεν αὐτῷ καί ὁ Λάζαρος, ὡς ὁ τῆς βροντῆς υἱός ἱστορεῖ, φάσκων οὕτω· *Πρό ἓξ ἡμερῶν τοῦ Πάσχα ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν. Ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καί ἡ Μάρθα διηκόνει· ὁ δέ Λάζαρος εἷς ἦν τῶν συνανακειμένων αὐτῷ. Ἡ οὖν Μαρία, λαβοῦσα λίτραν νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τούς πόδας τοῦ Ἰησοῦ καί ἐξέμαξε ταῖς θριξίν αὐτῆς τούς πόδας αὐτοῦ.* Τό δέ ἕτερον δεῖπνον ἐγεγόνει αὐτῷ πρό δύο ἡμερῶν τοῦ Πάσχα, ἔτι ὄντι ἐν Βηθανίᾳ Χριστῷ, ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, ὅτε καί ἡ πόρνη προσῆλθεν αὐτῷ, τό πολύτιμον μῦρον ἐκχέουσα, ὡς ὁ ἱερός

Ματθαῖος διέξεισι λέγων ὡς ἀπό τοῦ Χριστοῦ πρός τούς μαθητάς· *Οἴδατε ὅτι μετά δύο ἡμέρας τό Πάσχα γίνεται· καί μετ' ὀλίγα αὖθις ἐπιφέρει· τοῦ δέ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνή ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καί κατέχεεν ἐπί τήν κεφαλήν αὐτοῦ ἀνακειμένου.* Συνῳδά δέ καί ὁ Μᾶρκος φησίν· *Ἦν δέ τό Πάσχα καί τά ἄζυμα μετά δύο ἡμέρας· καί ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθε γυνή, καί τά ἑξῆς.*

Οἱ μέντοι διατεινόμενοι καί λέγοντες μίαν εἶναι παρά τοῖς τέσσαρσιν εὐαγγελισταῖς γυναῖκα τήν ἀλείψασαν τόν Κύριον μύρῳ, ἕνα καί τόν αὐτόν οἴονται εἶναι Σίμωνα, τόν τε φαρισαῖον καί τόν λεπρόν, ὅν καί πατέρα τοῦ τε Λαζάρου καί τῶν ἀδελφῶν αὐτοῦ Μαρίας καί Μάρθας εἶναι τινές ἐκδεδώκασι· καί ἕνα δεῖπνον καί τόν αὐτόν, καί τήν αὐτήν καί μίαν οἰκίαν αὐτοῦ, τήν ἐν Βηθανίᾳ, παρ' ᾧ καί τό ἀνώγεων τό ἐστρωμένον ἡτοίμασται καί τόν μυστικόν γεγενῆσθαι δεῖπνον, οὐ καλῶς οἴονται. Τά μέν γάρ δύο ταῦτα δεῖπνα ἐκτός τῶν Ἱεροσολύμων ἐν Βηθανίᾳ ἐγένοντο τῷ Χριστῷ πρό ἕξ καί πρό δύο, ὡς εἴρηται, ἡμερῶν τοῦ νομικοῦ Πάσχα, ὅταν καί αἱ γυναῖκες τά μύρα διαφόρως Χριστοῦ προσήγαγον. Ὁ δέ μυστικός δεῖπνος καί τό ἐστρωμένον ἀνώγεων ἔνδον τῆς πόλεως Ἱερουσαλήμ εὐτρεπίσθησαν πρό μιᾶς τοῦ νομικοῦ Πάσχα

καί τοῦ παθεῖν τόν Χριστόν ἡμέρας. Οἱ μέν ἐν οἰκίᾳ ἀγνώστου ἀνθρώπου· οἱ δέ κατά τήν οἰκίαν, ὥς φασι, τοῦ ἐπιστηθίου μαθητοῦ Ἰωάννου ἐν τῇ ἁγίᾳ Σιών, ἔνθα καί οἱ μαθηταί διά τόν τῶν Ἰουδαίων φόβον ἦσαν κρυπτόμενοι, καί ἡ τοῦ Θωμᾶ ἐγεγόνει ψηλάφησις μετά τήν ἀνάστασιν, καί ἡ τοῦ Ἁγίου Πνεύματος ἐπιφοίτησις κατά τήν Πεντηκοστήν, καί ἄλλα τινά τῶν ἀπορρήτων καί μυστικῶν ἐτελέσθη.

Διά τοι ταῦτα ἐμοί γοῦν δοκεῖ καί τῇ ἀληθείᾳ τό τοῦ Χρυσορρήμονος μᾶλλον ἀκριβέστερον εἶναι· ὥστε δύο μέν τάς γυναῖκας ταύτας λογίζεσθαι· μίαν μέν, ὡς εἴρηται, παρά τοῖς τρισίν εὐαγγελισταῖς, πόρνην οὖσαν καί ἁμαρτωλόν, τήν κατά κεφαλήν Χριστοῦ τό μύρον ἐκχέασαν· ἄλλην δέ τήν παρά τῷ Ἰωάννῃ, Μαρίαν τήν ἀδελφήν Λαζάρου, μόνοις τοῖς θείοις ποσί Χριστοῦ τοῦτο προσαγαγοῦσαν καί ἐπιχέασαν. Καί ἄλλα μέν τά ἐν Βηθανίᾳ δεῖπνα, ἕτερον δέ εἶναι τόν μυστικόν· καί δῆλον καί ἐξ ὧν μετά τήν τῆς πόρνης ταύτης διήγησιν τούς μαθητάς ὁ Σωτήρ πρός τήν πόλιν ἐκπέμπει, ἑτοιμάσοντας τό Πάσχα. *Ὑπάγετε*, λέγων, *εἰς τήν πόλιν πρός τόν δεῖνα καί εἴπατε· Ὁ Διδάσκαλος λέγει, πρός σέ ποιῶ τό Πάσχα μετά τῶν μαθητῶν μου.* Καί αὖθις· *Καί ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων, καί αὐτός δείξει ὑμῖν ἀνώγεων μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε ἡμῖν. Οἱ δέ ἀπελθόντες, φησίν, εὗρον καθώς ἐνετείλατο αὐτοῖς, καί ἡτοίμασαν τό Πάσχα,* τό νομικόν

δηλαδή, ἐπί θύραις ὄν· ὅ καί ἐλθών ἐτέλεσε μετά τῶν μαθητῶν, ὡς ὁ θεῖος λέγει Χρυσόστομος. Ἔπειτα καί δείπνου γενομένου, τοῦ μυστικοῦ δηλαδή, καί τοῦ θείου νιπτῆρος ἐν τῷ μεταξύ ἐνεργηθέντος, αὖθις ἀναπεσών καί τό ἡμέτερον παραδίδωσι Πάσχα ἐπί τῆς αὐτῆς τραπέζης, ὡς ὁ τήν γλῶτταν χρυσοῦς Ἰωάννης διέξεισι.

Καί ταῦτα μέν οὕτως. Ὁ δέ θεσπέσιος Ἰωάννης, πρός δέ καί ὁ Μᾶρκος, οἱ θεῖοι εὐαγγελισταί, καί τό τοῦ μύρου εἶδος προσέθηκαν, πιστικόν τοῦτο κατονομάσαντες καί πολύτιμον. Ἑοίκασι δέ πιστικόν καλεῖν τό ἄδολόν τε καί ἄκρατον καί καταπεπιστευμένον εἰς καθαρότητα. Ἴσως δέ καί προσηγορία τις ἦν τοῦτο τοῦ ἀρίστου καί πρώτου μύρου. Προστίθησι δέ ὁ Μᾶρκος, ὅτι καί τό ἄγγος συνέτριψεν ὑπό τῆς σπουδῆς ἡ γυνή, οἷα περ στενόπορον, ὅ καί ἀλάβαστρον ὀνομάζει. Ἔστι δέ τοῦτο ἀγγεῖον ὑέλινον, ὥς φησιν ὁ ἱερός Ἐπιφάνιος, ἄνευ λαβῆς πεποιημένον τινός, ὅ καί βυκίον οὑτωσί λέγεται. Ἦν δέ τό μῦρον ἐκεῖνο συντεθειμένον ἐξ εἰδῶν μέν καί ἄλλων πολλῶν, μάλιστα δ' ἐκ τούτων, σμύρνης ἄνθους, κιναμώμου εὐώδους, ἴρεως, καλάμου ἀρωματικοῦ καί ἐλαίου.

Ἀλλ' ὁ τῷ νοητῷ μύρῳ χρισθείς, Χριστέ ὁ Θεός, τῶν ἐπιῤῥύτων παθῶν ἐλευθέρωσον καί ἐλέησον ἡμᾶς ὡς μόνος ἅγιος καί φιλάνθρωπος. Ἀμήν.

Β΄

Τρεῖς γυναῖκας εὑρίσκομεν εἰς τά Ἅγια Εὐαγγέλια ὁποῦ ἤλειψαν τόν Κύριον μέ μύρον· μία εἶναι ἐκείνη περί τῆς ὁποίας λέγουσιν οἱ Θεῖοι Εὐαγγελισταί, ὁ Ματθαῖος, καί ὁ Μᾶρκος· δευτέρα εἶναι ἐκείνη, διά τήν ὁποίαν διηγεῖται ὁ Εὐαγγελιστής Ἰωάννης· καί αἱ δύω ἐκεῖναι, καθώς φαίνεται, ἦσαν τίμιαι καί σεμναί· ὅτι δι' ἐκείνην ὁποῦ γράφουσιν ὁ Ματθαῖος καί ὁ Μᾶρκος, πόρνης ὄνομα δέν ἀκούεται· ἐκείνη, διά τήν ὁποίαν λέγει ὁ θεῖος Ἰωάννης, ἦτον ἀδελφή τοῦ Λαζάρου, τήν ὁποίαν, ὡς λέγει ὁ Εὐαγγελιστής, ἠγάπα ὁ Ἰησοῦς· φανερόν, ὅτι τήν ἠγάπα ὡς τιμημένην οὖσαν καί σεμνήν· ἡ τρίτη ὁποῦ ἤλειψε τόν Κύριον μύρῳ, ἦτον πόρνη, καθώς τό λέγει ρητῶς ὁ Εὐαγγελιστής Λουκᾶς, ὅτι ἠρώτα τίς τῶν Φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ, καί εἰσελθών εἰς τήν οἰκίαν τοῦ Φαρισαίου, ἀνεκλίθη· καί ἰδού γυνή ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός, καί τά ἑξῆς· ἁμαρτωλός, ἤγουν πόρνη. Καί αἱ τρεῖς δέ αὗται γυναῖκες, κατά διαφόρους καιρούς ἔφερον τό μύρον· αὕτη ἡ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, κατά τά μέσα τοῦ Εὐαγγελίου· ἐπειδή, ἀφ' οὗ ἐτελείωσε τῆς γυναικός τήν διήγησιν, ἀκολουθεῖ λέγων, καί ἐγένετο ἐν τῷ καθ' ἑξῆς, καί αὐτός διώδευε, κατά πόλιν καί Κώμην, κηρύσσων καί εὐαγγελιζόμενος τήν Βασιλείαν τοῦ Θεοῦ· ἡ δέ τοῦ Ἰωάννου, ἤγουν ἡ ἀδελφή τοῦ Λαζάρου, πρό ἓξ ἡμερῶν τοῦ Πάσχα· ἐκείνη δέ, διά τήν ὁποίαν λέγουσιν οἱ δύω,

ὁ Ἱερός Ματθαῖος, καί ὁ Μᾶρκος, πρό δύω ἡμερῶν. Λέγει γάρ ὁ Ἱερός Μᾶρκος, ἦν δέ τό Πάσχα καί τά ἄζυμα μετά δύω ἡμέρας· καί ὄντος αὐτοῦ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ Λεπροῦ, ἦλθε γυνή ἔχουσα, ἀλάβαστρον μύρου, νάρδου πιστικῆς πολυτίμου, καί συντρίψασα τό ἀλάβαστρον, κατέχεεν αὐτοῦ κατά τῆς κεφαλῆς. Ὁ δέ Ἱερός Ματθαῖος, λέγει, ὅτι ἀφ' οὗ ἐτελείωσεν ὁ Ἰησοῦς τούς λόγους τούτους, εἶπε τοῖς Μαθηταῖς αὐτοῦ, οἴδατε, ὅτι μετά δύω ἡμέρας τό Πάσχα γίνεται· εἶτα κατωτέρω λέγει· τοῦ δέ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, καί τά ἑξῆς. Λοιπόν, ὅσον ἀπό τούς διαφόρους καιρούς, τρεῖς εὑρίσκομεν τάς γυναῖκας, ὁποῦ ἤλειψαν τόν Κύριον μύρῳ, καί μίαν μόνην πόρνην ἐκείνην τοῦ Εὐαγγελιστοῦ Λουκᾶ. Οἱ ἀρχαιότατοι λοιπόν Θεῖοι Πατέρες, ὁποῦ ἐμοίρασαν τά Εὐαγγέλια εἰς ὅλας τάς ἡμέρας τοῦ χρόνου, καθώς δηλαδή παρέλαβον, παρά τῶν Ἁγίων Ἀποστόλων τῶν κηρύκων τῆς Πίστεως, ἐκεῖνοι διώρισαν νά ἀναγινώσκηται καί σήμερον, ἤγουν εἰς τήν Ἁγίαν καί Μεγάλην Τετάρτην, τό Εὐαγγέλιον, ὁποῦ διηγῆται περί τῆς γυναικός τῆς ἀλειψάσης τόν Κύριον μέ μύρον· καί ἀναγινώσκεται λοιπόν κατ' ἔτος ἡ περικοπή τοῦ Εὐαγγελιστοῦ Ματθαίου. Διώρισαν δέ νά ἀναγινώσκηται τό διήγημα τῆς μυραλειψάσης τόν Κύριον, ὅτι διά τοῦτο καί τό ἔγραψεν ὁ Εὐαγγελιστής διά νά λαλῆται εἰς ὅλον τόν Κόσμον, ἡ εὐσέβεια τῆς γυναικός ἐκείνης, καθώς ὁ ἴδιος Ἰησοῦς Χριστός προφητικῶς ἀπεφά-

σισε. Λέγει γάρ ὁ θεῖος Εὐαγγελιστής, ὅτι βλέποντες οἱ Μαθηταί, πώς ἐχύθη εἰς τήν γῆν ἕν τόσον πολύτιμον μύρον, ἠγανάκτησαν, καί εἶπον, εἰς τί ἡ ἀπώλεια αὕτη; τοῦτο τό μύρον ἠδύνατο νά πωληθῇ μέ πολλήν τιμήν, καί νά δοθῇ εἰς τούς πτωχούς· εἶτα λέγει, πώς ὁ Ἰησοῦς, ἀπολογούμενος ὑπέρ τῆς γυναικός, καί εἰπών, ὅτι ἡ μυραλειψία ἐκείνη, ἀπέβλεπεν εἰς τόν ἐνταφιασμόν αὐτοῦ, τελευταῖον ἀπεφάσισε, λέγων οὕτως· «Ἀμήν λέγω ὑμῖν, ὅπου ἄν κηρυχθῇ τό Εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται, καί ὅ ἐποίησεν αὕτη, εἰς μνημόσυνον αὐτῆς». Οὕτως ἀπεφάσισεν ὁ Δεσπότης Χριστός, καί οὕτω γίνεται καί λαλεῖται πανταχοῦ ἡ φιλοθεΐα ἐκείνης τῆς καλῆς γυναικός· ἀλλά καθώς προεῖπον, ἡ γυνή αὕτη, δέν φαίνεται νά ἦτον ἁμαρτωλός, ἡ ὁποία ἀναγινώσκεται εἰς τήν Λειτουργίαν τῆς Μεγάλης Τετάρτης. Λοιπόν ἀκολουθεῖ μία ἀπορία, πῶς καί πόθεν τά τροπάρια, καί ὅλη σχεδόν ἡ ἀκολουθία, ἄνω καί κάτω τό ὄνομα κρατοῦσι τῆς πόρνης; ἀλλά, καθώς προεῖπον, τό Εὐαγγέλιον τοῦ ἱεροῦ Ματθαίου, ὁποῦ δέν ἀναφέρει πόρνης, ἤ ἁμαρτωλοῦ ὄνομα, οἱ ἀρχαιότατοι Πατέρες διώρισαν νά ἀναγινώσκηται εἰς τήν λειτουργίαν, διά νά λαλῆται εἰς ὅλον τόν κόσμον, κατά τήν ἀπόφασιν τοῦ Κυρίου, τό θεάρεστον ἔργον ἐκείνης τῆς φιλοθέου γυναικός. Ἀλλ' οἱ μεταγενέστεροι θεῖοι Πατέρες, ὁποῦ ἔλαμψαν εἰς τούς κάτω χρόνους, ἤτοι εἰς τούς ὀκτακοσίους ἀπό Χριστοῦ, οἱ ὁποῖοι ἔμ-

βασαν εἰς τήν Ἐκκλησίαν τά ἱερά ταῦτα ᾄσματα, ὁποῦ ψάλλομεν σήμερον, ἀπό τούς ὁποίους μάλιστα ὁ ἱερός Κοσμᾶς, ὁ πνευματικός ἀδελφός τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ, τήν ἁγίαν ἑβδομάδα ἐστόλισε μέ τά ἱερά του μελῳδήματα· αὐτοί λέγω οἱ ἱεροί μελῳδοί, ἠθέλησαν νά μεταχειρισθοῦν εἰς τά τροπάριά των ἐκείνην τήν ἁμαρτωλόν, διά τήν ὁποίαν διηγεῖται ὁ Εὐαγγελιστής Λουκᾶς, ὡς φαίνεται διότι δίδει περισσοτέραν ὕλην καί εὐρυχωρίαν εἰς τά νοήματα τῶν ἱερῶν ᾀσμάτων, ὁποῦ νά προξενοῦν εἰς τάς ψυχάς τῶν ἀκουόντων περισσοτέραν κατάνυξιν καί ὠφέλειαν. Καί βέβαια αὐτή πρέπει νά ἦναι ἡ αἰτία, διά τήν ὁποίαν ἀφῆκαν ἐκείνην τήν τοῦ ἱεροῦ Ματθαίου, καί ἔλαβον εἰς ὑπόθεσιν τήν τοῦ Λουκᾶ, ἐπάνω εἰς τήν ὁποίαν, κάμνουσι διαφόρους προσωποποιΐας, καί διάφορα σχήματα, τά ὁποῖα προξενοῦσι πολλήν τήν κατάνυξιν, καθώς εἶναι μάλιστα ἐκεῖνο, ὁποῦ λέγει, Κύριε ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνή, κ.τ.λ. Πιστικόν δέ καί πολύτιμον ὠνόμασαν τό μύρον ἐκεῖνο οἱ θεῖοι Εὐαγγελισταί ὁ Ἰωάννης καί ὁ Μᾶρκος, ἴσως τό ἄδολον καί ἄκρατον καί καταπεπιστευμένον εἰς καθαρότητα λέγοντες. Ἐνδέχεται νά ἦτον καί ὀνομασία τοῦτο τό πιστικόν, τοῦ ἀρίστου καί πρώτου μύρου. Λέγει δέ ὁ ἱερός Μᾶρκος, ὅτι τάχα ἀπό τήν πολλήν της σπουδήν ἡ γυνή συνέτριψε καί τό ἀγγεῖον, ὡς στενόστομον, καί εὐκόλως δέν ἐξεκενοῦντο καί ἀλάβαστρον ὀνομάζει τό

ἀγγεῖον ἐκεῖνο τοῦ μύρου, τό ὁποῖον εἶναι ὑάλινον, καί ὀνομάζεται οὕτως ἀλάβαστρον, μέ τό νά μήν ἔχῃ λαβήν, ἤγουν τό κοινῶς λεγόμενον αὐτί· τό ὁποῖον καί βυκίον λέγεται, τό κοινῶς βουτζί. Ἦτον δέ, καθώς λέγουσι, τό μύρον, ἐκεῖνο σύνθετον, ἤτοι κατεσκευασμένον καί ἀπό ἄλλα μέν πολλά εἴδη, μάλιστα δέ ἀπό αὐτά, ἤτοι ἀπό ἄνθος σμύρνης, ἀπό κινάμωμον εὐῶδες, ἀπό ἴριν, ἀπό κάλαμον ἀρωματικόν, καί ἀπό ἔλαιον. Ἀλλ᾽ ὁ τῷ νοητῷ μύρῳ χρισθείς Χριστέ ὁ Θεός, τῶν ἐπιῤῥύπων παθῶν ἐλευθέρωσον, καί ἐλέησον ἡμᾶς, ὡς μόνος Ἅγιος, καί φιλάνθρωπος. Ἀμήν.



ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ

Τῇ ἁγίᾳ καί μεγάλῃ Πέμπτῃ, οἱ τά πάντα καλῶς διαταξάμενοι θεῖοι πατέρες, ἀλληλοδιαδόχως ἔκ τε τῶν θείων ἀποστόλων καί τῶν ἱερῶν Εὐαγγελίων, παραδεδώκασιν ἡμῖν τέσσαρά τινα ἑορτάζειν· τόν ἱερόν νιπτῆρα, τόν μυστικόν δεῖπνον (δηλαδή τήν παράδοσιν τῶν καθ' ἡμᾶς φρικτῶν μυστηρίων), τήν ὑπερφυᾶ προσευχήν καί τήν προδοσίαν αὐτήν.

Α΄

Ἐπειδή τό ἑβραϊκόν Πάσχα κατά τήν Παρασκευήν ἔμελλε θύεσθαι, ἦν δέ ἆρα προσῆκον τῷ τύπῳ ἐπακολουθῆσαι καί τήν ἀλήθειαν, ἐν αὐτῷ δηλαδή καί τό καθ' ἡμᾶς Πάσχα τυθῆναι, Χριστόν, προλαβών ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὡς οἱ θεῖοι πατέρες φάσκουσιν, ἐνεργεῖ αὐτό μετά τῶν μαθητῶν τῇ ἑσπέρᾳ τῆς Πέμπτης. Αὕτη γάρ ἡ ἑσπέρα καί ἡ Παρασκευή ὅλη μία παρ' Ἑβραίοις λογίζεται· οὕτω γάρ ἐκεῖνοι μετροῦσι τό νυχθήμερον λέγοντες. Ἐνήργησεν οὖν αὐτό καί τότε, ὥς τινες εἶπον, μετά τῶν μαθητῶν κατά τόν νόμον, ὧν εἷς ἐστι καί ὁ θεῖος Χρυσόστομος· πρότερον ὀρθοστάδην καί ἐζωσμένοι τά ὑποδήματα περικείμε-

νοι, βακτηρίαις ἐπερειδόμενοι, καί τ' ἄλλα, ὅσα ὁ νόμος διακελεύεται, ἵνα μή παράνομος δόξῃ· ταῦτα γάρ ὁ Ζεβεδαῖος ἡτοίμασεν· οὗτος γάρ ὁ τό κεράμιον βαστάζων τοῦ ὕδατος, ὡς ὁ μέγας φησίν Ἀθανάσιος, κἄν ἄλλοι ἄλλως περί τούτου εἰρήκασι. Μετέπειτα δέ, τά τελεώτατα δεικνύς τοῖς μαθηταῖς, καί τοῦ καθ' ἡμᾶς Πάσχα τό μυστήριον παραδίδωσιν ἐν τῷ ἀνώγεῳ, ἤδη ἐπιλαβούσης νυκτός. *Δείπνου γάρ, φησί, γενομένου, ἀνεκλίθη μετά τῶν δώδεκα.* Ὅρα δέ ὅτι οὐ τοῦτο ἦν τό νομικόν Πάσχα· δεῖπνος γάρ καί κλίσις καί ἄρτος καί ὑγρόν· ἐκεῖ δέ πάντα ὀπτά πυρί καί ἄζυμα.

Πρό δέ τοῦ ἄρξασθαι δειπνεῖν (οὕτω γάρ ὁ θεῖος λέγει Χρυσόστομος) ἐκ τοῦ δείπνου ἐγείρεται, καί τίθησι χαμαί τά ἱμάτια, καί ὕδωρ τῷ νιπτῆρι βάλλει, αὐτός αὐτουργῶν τά πάντα· ἅμα μέν τόν Ἰούδαν ἐντρέπων, ὁμοῦ δέ καί τούς ἄλλους μαθητάς ὑπομιμνήσκων μή τό πρωτεῖον ἐπιζητεῖν, καθώς καί μετά τόν νιπτῆρα παραινεῖ λέγων· *Ὁ θέλων εἶναι πρῶτος ἔστω ἔσχατος*, ἑαυτόν τιθείς εἰς ὑπόδειγμα. Φαίνεται δέ ὡς πρῶτον πάντων τόν Ἰούδαν ἔνιψεν ὁ Χριστός, ἰταμώτερον προκαθίσαντα, ὕστερον δέ ἐπί τόν Πέτρον ἔρχεται. Ὁ δέ, θερμότερος τῶν ἄλλων ὑπάρχων, τόν Διδάσκαλον ἀνακόπτει, καί συγχωρεῖ πάλιν σφοδρότερον. Νίψας τοίνυν αὐτῶν τούς πόδας, καί ὕψωσιν παράδοξον διά ταπεινώσεως ὑποδείξας, λαβών τά ἱμάτια πάλιν καί ἀναπεσών, παραινεῖ αὐτούς ἀγαπᾶν ἀλλήλους καί μή τό πρωτεῖον ἐπιζητεῖν.

Ἐσθιόντων δέ αὐτῶν, καί τό περί προδοσίας εἰσάγει κεφάλαιον. Θορυβουμένων δέ ἐπί τῷ λόγῳ τῶν μαθητῶν, λέγει τῷ Ἰωάννῃ μόνῳ ἠρέμα ὁ Ἰησοῦς· *Ὧ ἐγώ βάψας τό ψωμίον ἐπιδώσω, ἐκεῖνός ἐστιν ὁ παραδιδούς με.* Εἰ γάρ ὁ Πέτρος ᾔδει τόν λόγον, ἅτε ὢν τῶν ἄλλων θερμότερος, τόν Ἰούδαν διεχειρίσατο ἄν. Καί πάλιν· *Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τήν χεῖρα,* ὥστε καί ἀμφότερα ἐγένοντο.

Εἶτα, βραχύ τι διαλιπών, λαβών τόν ἄρτον λέγει· *Λάβετε, φάγετε·* καί τό ποτήριον ὁμοίως· *Πίετε ἐξ αὐτοῦ πάντες,* εἰπών, *τοῦτό ἐστι τό αἷμά μου τό τῆς καινῆς διαθήκης· τοῦτο ποιεῖτε εἰς τήν ἐμήν ἀνάμνησιν.* Πλήν καί αὐτός, τοῦτο εἰπών, ᾔσθιε καί ἔπινε μετ' αὐτῶν. Ὅρα δέ, ὅτι ἄρτον λέγει τό σῶμα αὐτοῦ, οὐ μήν ἄζυμον. Αἰσχυνέσθωσαν οὖν οἱ τῇ θυσίᾳ ἄζυμον προσφέροντες. Μετά δέ τό ψωμίον εἰσῆλθεν εἰς τόν Ἰούδαν ὁ σατανᾶς· δοκιμάζων γάρ αὐτόν πρότερον, νῦν παντελῶς εἰσῳκήσατο. Καί πορευθείς, φησί, σύνθημα ἔθετο τοῖς ἀρχιερεῦσιν, ἵνα αὐτόν αὐτοῖς παραδῷ ἀργυρίοις τριάκοντα.

Οἱ δέ μαθηταί μετά τόν δεῖπνον ἐξῆλθον εἰς τό ὄρος τῶν Ἐλαιῶν, εἴς τι χωρίον λεγόμενον Γεθσημανῆ. Μετά δέ πολλά λέγει αὐτοῖς ὁ Ἰησοῦς· *Ὑμεῖς πάντες σκανδαλισθήσεσθε ἐπ' ἐμοί ἐν τῇ νυκτί ταύτῃ.* Ὁ δέ Πέτρος, *Ἐάν πάντες,* φησίν, *ἐγώ δέ οὐ μή σε ἀπαρνήσομαι.* Ἦν δέ ὀψέ, ἤτοι βαθύ τῆς νυκτός. Ὁ δέ λέγει· *Πρίν ἤ*

φωνῆσαι τόν ἀλέκτορα δίς, ἀπαρνήσῃ με τρίς. Κατά γάρ ἀγωγήν ὁ ἀλέκτωρ οὐχ ἅπαξ, ἀλλά καί τρίς λέγει. Ὅ δή καί ἐγένετο, δέει ἀμέτρῳ τοῦ Πέτρου ληφθέντος, τοῦ Θεοῦ τό ἀσθενές ἐνδεικνυμένου τῆς φύσεως. Καί ἅμα, ἐπεί τήν οἰκουμένην αὐτῷ ἐνεχείρισεν, ἵνα ἐξ αὐτοῦ τό τῆς φύσεως εὐάγωγον ἐγνωκώς, συγγνώμων εἴη τοῖς ἁμαρτάνουσι. Πλήν ἡ τρίτη τοῦ Πέτρου ἄρνησις τήν τῶν ἀνθρώπων πάντων ἁμαρτίαν εἰς Θεόν ἐξεικόνιζε· πρώτην ἤν παρέβη ὁ Ἀδάμ ἐντολήν· δευτέραν τήν τοῦ γραπτοῦ νόμου παράβασιν· καί τρίτην αὐτήν τήν τοῦ Λόγου σάρκωσιν. Ἥν ὕστερον ὁ Σωτήρ τριπλῇ μεταγνώσει ἰάσατο, διά τοῦ *Πέτρε, φιλεῖς με,* τρισσῶς ἐξειπεῖν.

Μετά δέ ταῦτα λέγει τοῖς μαθηταῖς, τό ἀνθρώπινον ἐνδεικνύμενος, ὡς φοβερός τοῖς πᾶσιν ὁ θάνατος· *Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου·* καί μεταστάς ὡσεί λίθου βολήν, προσηύχετο, ἐκ τρίτου εἰπών· *Πάτερ μου, εἰ οὐ δύναται τό ποτήριον τοῦτο παρελθεῖν ἀπ' ἐμοῦ, ἐάν μή αὐτό πίω, γενηθήτω τό θέλημά σου·* καί αὖθις· *Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τό ποτήριον τοῦτο.* Ἅμα μέν ὡς ἄνθρωπος τοῦτο λέγων, ἅμα δέ καί τόν διάβολον μετερχόμενος τεχνηέντως, ὡς ἄν νομίζων κἀκεῖνον ἄνθρωπον εἶναι διά τό φοβεῖσθαι, μή τό διά τοῦ θανάτου τοῦ σταυροῦ ἀνακόψῃ μυστήριον. Ἐπανελθών δέ, καί εὑρών τούς μαθητάς ὕπνῳ βεβυθισμένους, πρός τόν Πέτρον ἀποτείνεται,

οὕτω λέγων· *Οὐδέ μίαν ὥραν ἰσχύσατε γρηγορῆσαι καί ἀγρυπνῆσαι μετ' ἐμοῦ;* οἰονεί σύ ὁ λέγων μέχρι θανάτου διαγωνίσασθαι, οὕτως ὑπνώττεις μετά τῶν λοιπῶν; Διελθών δέ πέραν τοῦ χειμάῤῥου τῶν κέδρων, ἔνθα ἦν κῆπος, ηὐλίσθη ἐκεῖ μετά τῶν μαθητῶν.

Συνεχῶς δέ ἐκεῖσε παραβάλλειν εἰώθει· διό καί ὁ Ἰούδας ᾔδει τόν τόπον· ὅς, τινάς τῶν τῆς σπείρας λαβών, καί ὄχλου ἐπακολουθοῦντος, ἦλθεν ἐπί τόν Ἰησοῦν, δούς αὐτοῖς τό τοῦ φιλήματος σύμβολον. Τοῦτο δέ εἶπε, διότι πολλάκις κρατηθείς, ἀφανής ἐκ μέσου αὐτῶν διήρχετο, ὥστε καί ἐνταῦθα αὐτός ὁ Χριστός πρῶτος ἔξεισι πρός αὐτούς λέγων· *Τίνα ζητεῖτε;* Οἱ δέ αὐτόν καί ἔτι ἠγνόουν· οὐ γάρ ἡ νύξ ἐμποδών καθίστατο· φανοί γάρ ἦσαν, φησί, καί λαμπάδες ἁπτόμεναι· καί τῷ δέει καταπεσόντες, ἀνεχώρησαν. Καί πάλιν ἐλθοῦσιν αὐτός ἀπεκρίνατο. Τοῦ δέ Ἰούδα πεποιηκότος τό σύνθημα, ὁ Χριστός λέγει· *Ἑταῖρε, ἐφ' ᾧ πάρει·* οἰονεί, δι' ὅ ἦλθες, Ἰούδα, εὔκαιρόν ἐστι· καί αὖθις λέγει· *Ὡς ἐπί λῃστήν ἐξήλθετε μετά μαχαιρῶν καί ξύλων συλλαβεῖν με;* Ἐν νυκτί δέ παρεγένοντο, ἵνα μή τις στάσις ὑπό τοῦ ὄχλου γένηται. Τότε ὁ θερμότατος Πέτρος σπασάμενος μάχαιραν (ἀπό δείπνου γάρ ἦσαν, καί πρός τά αὐτά δή παρεσκευασμένοι), τόν τοῦ ἀρχιερέως δοῦλον, Μάλχον ὄνομα, πατάξας, τό δεξιόν οὖς ἀπέκοψεν· αἰνιττομένου τοῦ λόγου ὅτι ὁ ἀρχιερεύς οὐ καλῶς τόν νόμον ἤκουε καί ἐδίδασκεν. Ἐντρέπει

οὖν τόν Πέτρον ὁ Χριστός μή καλόν εἶναι ἀκούσαντα τόν πνευματικόν ἄνδρα μαχαίρᾳ χρῆσθαι· ὁ δέ τοῦ Μάλχου τό ὠτίον ἰάσατο.

Συλλαβόντες δέ τόν Ἰησοῦν, δέσμιον ἄγουσιν ἐπί τήν αὐλήν τοῦ ἀρχιερέως Ἄννα, ὅς ἦν πενθερός τοῦ Καϊάφα. Ἐκεῖ γάρ ἦσαν ἅπαντες συνηγμένοι οἱ κατά Χριστοῦ φρονοῦντες φαρισαῖοι καί γραμματεῖς. Ἐντεῦθεν τά κατά τόν Πέτρον καί τήν παιδίσκην καί ἡ αὐτοῦ ἄρνησις γίνεται· καί τῆς νυκτός ἐν τῷ μεταξύ δαπανηθείσης, ὁ ἀλέκτωρ ἐφώνησεν ἐκ τρίτου· ὁ δέ μνησθείς, ἔκλαυσε πικρῶς. Καί τοῦ καιροῦ ἤδη πρός ὄρθρον ἐληλακότος, ἀπό τοῦ Ἄννα πρός τόν ἀρχιερέα Καϊάφαν τόν Χριστόν ἄγουσιν, ὅπου καί ἐμπτυσμούς ἔλαβε, καί ψευδομάρτυρες ἐκλήθησαν. Καί διαυγαζούσης ἡμέρας πρός τόν Πιλᾶτον αὐτόν ἀποστέλλει ὁ Καϊάφας. Οἱ δέ ἀγαγόντες αὐτόν, φησίν, *οὐκ εἰσῆλθον εἰς τό πραιτώριον, ἵνα μή μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τό πάσχα.* Συνάγεται οὖν ὡς παράνομον ἴσως οἱ ἀρχιερεῖς καί οἱ φαρισαῖοι τότε ἔπραξαν, μεταθέμενοι τό Πάσχα, ὥς φησιν ὁ θεῖος Χρυσόστομος· κατά τήν νύκτα γάρ ἐκείνην ἔδει αὐτούς αὐτό φαγεῖν, ἀλλά διά τόν τοῦ Χριστοῦ φόνον ὑπερέθεντο. Ὅτι δέ τότε ἐχρῆν αὐτό φαγεῖν, ἐδήλωσεν ὁ Χριστός πρό τοῦ δείπνου, νυκτός φαγών, εἶτα μυήσας τά τελεώτερα. Καί γάρ τῷ νομικῷ ἔδει τύπῳ, ὡς εἴρηται, ἐπιγενέσθαι καί τήν ἀλήθειαν. Ὁ γάρ Ἰωάννης πρό τῆς ἑορτῆς φησί τοῦ Πά-

σχα ταῦτα πάντα γεγονότα, κατά τήν Πέμπτην καί τήν νύκτα αὐτῆς. Διά τοῦτο καί ἡμεῖς ἑορτάζομεν, μνείαν τῶν φοβερῶν καί ἀῤῥήτων ἔργων ἐκείνων καί πράξεων μετά δέους ποιούμενοι.

Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Τέσσαρά τινα μᾶς παρέδωκαν οἱ θεῖοι Πατέρες νά ἑορτάζωμεν εἰς αὐτήν τήν ἁγίαν ἡμέραν τῆς μεγάλης Πέμπτης, ἐκ τῶν θείων καί ἱερῶν Εὐαγγελίων αὐτά παραλαβόντες, ἤγουν πρῶτον τόν ἱερόν Νιπτῆρα, δεύτερον τόν μυστικόν δεῖπνον, δηλαδή τήν παράδοσιν τῶν φρικτῶν Μυστηρίων· τρίτον τήν ὑπερφυᾶ προσευχήν, καί τέταρτον, τήν προδοσίαν αὐτήν. Ἐπειδή γάρ τό Ἑβραϊκόν Πάσχα ἔμελλε νά γένῃ, κατά τήν Παρασκευήν, καί ἐν αὐτῇ ταύτῃ τῇ Παρασκευῇ ἔμελλε νά ἀκολουθήσῃ εἰς τόν παλαιόν τύπον ἡ ἀλήθεια, ἤγουν ἔμελλε νά θυσιασθῇ τό ἀληθινόν Πάσχα, ὁ ἀμνός τοῦ Θεοῦ καί Πατρός, ὁ αἴρων τήν ἁμαρτίαν τοῦ κόσμου, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, τόν ὁποῖον προετύπωνεν ὁ ὑπό τῶν Ἑβραίων κατ' ἔτος θυσιαζόμενος ἀμνός, ὅστις ἐλέγετο Πάσχα. Διά τοῦτο αὐτός προλαμβάνει, καί παραδίδει τά θεῖά του Μυστήρια, ἐπάνω εἰς τόν

δεῖπνον τῆς ἑσπέρας τῆς πέμπτης ἡμέρας. Λέγουσι γάρ οἱ θεῖοι Εὐαγγελισταί, ὅτι ἐσθιόντων δέ αὐτῶν, λαβών ὁ Ἰησοῦς τόν ἄρτον, καί εὐλογήσας ἔκλασε, καί δίδου τοῖς Μαθηταῖς, καί εἶπε· λάβετε φάγετε, τοῦτό ἐστι τό σῶμά μου· καί λαβών τό ποτήριον, καί εὐχαριστήσας, ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο γάρ ἐστί τό αἷμά μου, τό τῆς Καινῆς Διαθήκης, τό περί πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν, τοῦτο ποιεῖτε εἰς τήν ἐμήν ἀνάμνησιν. Ὁμοίως λέγει καί ὁ Εὐαγγελιστής Μᾶρκος. Σημείωσαι δέ σύ ἀκροατά ὅτι ἄρτον λέγει ὁ Εὐαγγελιστής, καί ὄχι ἄζυμον· ὅτι τῇ μεγάλῃ Πέμπτῃ ἄζυμα δέν ἦτον· ὡσάν ὁποῦ τά ἄζυμα ἤρχιζον ὁμοῦ μέ τό Πάσχα, τό ὁποῖον, καθώς εἴπομεν ἔμελλε νά φαγωθῇ τῇ Παρασκευῇ ἑσπέρας. Περί δέ τοῦ ἱεροῦ νιπτῆρος, ὁ Εὐαγγελιστής Ἰωάννης διηγεῖται λέγων· «ὅτι εἰδώς ὁ Ἰησοῦς, ὅτι πάντα δέδωκεν αὐτῷ ὁ Πατήρ εἰς τάς χεῖρας, καί ὅτι ἀπό Θεοῦ ἐξῆλθε, καί πρός τόν Θεόν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου, καί τίθησι τά ἱμάτια· καί λαβών λέντιον διέζωσεν ἑαυτόν. Εἶτα βάλλει ὕδωρ εἰς τόν Νιπτῆρα, αὐτός ὁ ἴδιος, ἤγουν ὁ Δεσπότης καί Κύριος ὅλης τῆς Κτίσεως, μέ τά ἴδια του χέρια, ἔβαλε νερόν εἰς τήν λεκάνην, καί γονατίζων ἐμπρός εἰς κάθε ἕνα του μαθητήν, ἔπλυνε τούς πόδας αὐτῶν, ἀκόμη καί τοῦ προδότου Ἰούδα, καί τούς ἐσφούγγιζε καί μέ τόν φουτάν, μέ τόν ὁποῖον ἦτον διεζωσμένος. Φρίξον ἄνθρωπε, νά βλέπῃς τόν Πλάστην

σου, τόν Διδάσκαλόν σου γονατιστόν ἔμπροσθέν σου, καί νά πλύνῃ τούς βρομερούς πόδας σου. Καί βέβαια ἦτον τοῦτο ἔργον, ὁποῦ καί τόν προδότην ἦτον ἀρκετόν νά κάμῃ νά ἐντραπῇ, καί νά μεταγνωμίσῃ ἀπό τόν διαβολικόν λογισμόν τῆς προδοσίας, καί τούς ἄλλους Μαθητάς νά διδάξῃ, νά μήν ζητοῦν πρωτεῖα, καθώς καί φανερά, καί ῥητῶς περί τούτου τούς ἐδίδαξεν· ὕστερον ἀφ' οὗ ἐτελείωσε τό νίψιμον· διότι ὡς ἀτελεῖς ὁποῦ ἀκόμη τότε ἦτον, ἦλθον καί εἰς τήν ματαίαν ταύτην συζήτησιν, ποῖος τάχα ἐξ αὐτῶν νά ἦτον μεγαλύτερος. Λοιπόν τό ἔργον ἐκεῖνο τοῦ νιπτῆρος, παράδειγμα καί διδασκαλία ἐστάθη ἄκρας ταπεινοφροσύνης· ὄχι μόνον διά τότε, ἀλλά καί πάντοτε δι' ὅλους ἡμᾶς· καί διά τοῦτο καί οἱ θεῖοι Πατέρες παρέδωκαν εἰς ἡμᾶς, νά κάμνωμεν ὅλην μας τήν εὐλάβειαν, τοῦ ἱεροῦ ἐκείνου νιπτῆρος τήν ἐνθύμησιν». Φαίνεται δέ ἀπό τά λόγια τοῦ Εὐαγγελιστοῦ, πώς ἀφ' οὗ προτήτερα ἔνιψεν ἄλλον τινά, ἦλθε καί εἰς τόν Πέτρον· ὁ δέ ἄλλος ἐκεῖνος φαίνεται πιθανῶς, πώς ἦτον ὁ Ἰούδας, ὁ ὁποῖος ὡς αὐθάδης καί προπέτης ἥρπασε καί τήν πρωτοκαθεδρίαν, καί ἀδιάντροπος ὢν καί ἀναίσθητος δέν ἐτρόμαξε βλέπων τόν θεῖον Διδάσκαλόν του, ὁποῦ ἐπῆγε νά τοῦ νίψῃ τούς πόδας, ἀλλά μέ τήν συνήθη του ἀδιακρισίαν ἐδέχθη ἀπό τόν Διδάσκαλόν του τῶν μιαρῶν του ποδῶν τό νίψιμον. Λοιπόν ἀπό ἐκεῖνον ἔρχεται πρός Σίμωνα Πέτρον, ὁ ὁποῖος θερμός ὢν εἰς τήν ἀγάπην καί εὐλά-

βειαν τοῦ Διδασκάλου του, ἐσηκώθη εἰς τούς πόδας ὁ Μακάριος, καί τί, λέγει, σύ μοῦ νίπτεις τούς πόδας; σύ ὁ Δεσπότης καί Κύριος; σύ, τόν ὁποῖον ἐγώ προλαβών, ὡμολόγησα Υἱόν τοῦ Θεοῦ τοῦ ζῶντος; σύ λοιπόν ὁ Υἱός τοῦ Θεοῦ, νά πλύνῃς τούς πόδας, ἐμοῦ τοῦ εὐτελοῦς, ἐμοῦ τοῦ ῥυπαροῦ; ἐμοῦ τοῦ ἁμαρτωλοῦ; οὐ μοῦ νίψῃς τούς πόδας εἰς τόν αἰῶνα. Οὕτως εἶπεν ὁ Μακάριος Πέτρος ἀπό τόν τρόμον του· ὅμως ἀκούσας ἀπό τόν ἴδιον, ὅτι ἐάν μή νίψωσε οὐκ ἔχεις μέρος μετ' ἐμοῦ, ἐκυριεύθη ἀπό ἄλλον μεγαλύτερον φόβον· Κύριε, καί παρά νά ἐκπέσω ἀπό τήν ἀγάπην σου, ἀπεκρίθη, καί νά στερηθῶ τήν γλυκυτάτην σου ὄψιν, στέργω νά μοῦ νίψῃς ὄχι μόνον τούς πόδας, ἀλλά καί τάς χεῖρας καί τήν κεφαλήν. Λοιπόν ἀφ' οὗ ἐτελείωσε τῶν ποδῶν τό νίψιμον, καί ἐφόρεσεν ἀπ' ἀρχῆς τά φορέματά του, ἐκάθισε, καί τούς ἐδίδαξε λέγων, ἐστοχάσθητε τί ἔκαμα εἰς ὑμᾶς; λοιπόν λάβετε ἀπό ἐμέ τόν Διδάσκαλόν σας παράδειγμα νά ταπεινώνησθε πρός ἀλλήλους, καί νά μή ζητῆτε μεγαλεῖα καί προτιμήσεις, τά ὁποῖα εἶναι ἴδια τῶν ἀπίστων καί ἐθνικῶν, καί ὄχι ὑμῶν τῶν ἐδικῶν μου Μαθητῶν. Διηγοῦνται ἔπειτα οἱ Θεῖοι Εὐαγγελισταί, ὅτι ἀφ' οὗ ἐδείπνησαν, καί ἔκαμαν πρός τόν Θεόν τόν δοτῆρα τῆς τροφῆς τήν πρέπουσαν εὐχαριστίαν, καθώς πρέπει νά κάνωμεν καί ἡμεῖς, ἐξῆλθον ἀπό τήν Ἱερουσαλήμ, καί ἐπῆγαν εἰς τό Ὄρος τῶν Ἐλαιῶν· ὁ δέ Ἰούδας ἐξῆλθε προτήτερα μέ σκοπόν διά νά τε-


λειώσῃ τήν ὑπόσχεσιν, ὁποῦ ἔδωκεν εἰς τούς Ἰουδαίους, ἤτοι νά παραδώσῃ εἰς αὐτούς τόν Ἰησοῦν, ὅταν εὕρῃ εὐκαιρίαν διά νά μήν ἀκολουθήσῃ ἀπό τόν ὄχλον καμμία σύγχυσις. Ἐκεῖ ἐξερχόμενος τούς εἶπε, πώς ἐκείνην τήν νύκτα ἔμελλον νά σκανδαλισθοῦν πρός αὐτόν, καί νά τόν ἀρνηθοῦν· καί ὁ Πέτρος ἀποκρινόμενος μέ τόλμην ἀσυλλόγιστον, ἀπεκρίθη, ὅτι καί ἄν ὅλοι οἱ ἄλλοι ἤθελον τόν ἀρνηθῆ, ἐγώ, λέγει, οὐ μή σε ἀρνήσομαι. Ὁ δέ Κύριος ἠξεύρων τῆς ἀνθρωπίνης φύσεως τήν ἀσθένειαν, τόν ἀπεκρίθη, ἤξευρε Πέτρε, ὅτι ταύτην τήν νύκτα, πρό τοῦ νά λαλήσῃ δεύτερον ὁ πετεινός, θέλεις μέ ἀρνηθῆς τρίς· καθώς καί ἔγινεν ὕστερον. Ὕστερον ἀπό τοῦτο, πηγαίνων εἰς ἕνα τόπον τοῦ Ὄρους ὁποῦ ὀνομάζεται Γεθσημανῆ, ἔδωκεν ἄδειαν εἰς τήν φύσιν του τήν ἀνθρωπίνην, νά αἰσθανθῇ τόν φόβον τοῦ θανάτου, καί συλλογιζόμενος, πώς ἔφθασεν ἡ ὥρα τοῦ θανάτου, ἔλαβε φόβον μέγαν ὡς ἄνθρωπος· καί διά νά δείξῃ, πώς τῇ ἀληθείᾳ, καί ὄχι κατά φαντασίαν, κατά τούς κακόφρονας αἱρετικούς, ἦτον ἄνθρωπος, καί πρός τούς τρεῖς Μαθητάς του, δηλαδή τόν Πέτρον καί Ἰάκωβον καί Ἰωάννην, ἐφανέρωσε, πώς εἶχε μέγαν ἀγῶνα· ὅθεν καί τοῖς εἶπεν, ὅτι περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· καί ἀπομακρυνθείς ἀπό αὐτούς, ὡσάν μιᾶς πετριᾶς διάστημα, ἤρχισε νά προσεύχηται πρός τόν ἄναρχόν του Πατέρα, λέγων· Πάτερ μου, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τό ποτήριον τοῦτο· ποτήριον ὀνο-

μάζων τόν σταυρικόν θάνατον, ὁποῦ ἔμελλε νά λάβῃ· ἀλλ' ἐπειδή ἄλλος τρόπος δέν ἦτον, διά νά σωθῇ τό ἀνθρώπινον γένος, διά τό ὁποῖον τέλος, καί τήν ἀνθρωπίνην ἔλαβε φύσιν, διά τοῦτο καί εὐθύς ἔλεγε, πλήν οὐχ' ὡς ἐγώ θέλω, ὄχι καθώς ἐγώ, ὡς ἄνθρωπος θέλω, καί ζητῶ νά ἀποφύγω τόν θάνατον, ἀλλά καθώς σύ Πάτερ θέλεις, καί εἰς τοῦτο μέ προώρισας, ἤτοι νά πάθω, διά τόν ἄνθρωπον. Ἔπειτα λέγει, ὅτι καί γενόμενος ἐν ἀγωνίᾳ, ἐκτενέστερον, ἤτοι περισσότερον καί θερμότερον προσηύχετο τόν αὐτόν λόγον λέγων, καί ἀποδιδούς ὅλον τό πᾶν εἰς τήν πατρικήν ἀπόφασιν, μέ αὐτά τά λόγια, Πάτερ μου, εἰ οὐ δύναται τό ποτήριον τοῦτο παρελθεῖν, ἀπ' ἐμοῦ, ἐάν μή πίω αὐτό, γενηθήτω τό θέλημά σου. Ὑμνοῦμεν λοιπόν καί δοξολογοῦμεν τήν οἰκονομικήν ταύτην προσευχήν τοῦ Σωτῆρος, τήν ὁποίαν ὡς ἄνθρωπος, καί ὄχι ὡς Θεός, προσέφερεν εἰς τόν ἄναρχον Πατέρα του· ὅτι ὡς Θεός ἐδέχετο μᾶλλον τῶν δούλων του τάς προσευχάς, καί ὄχι νά προσεύχηται αὐτός· ἐπειδή καί ἀπό αὐτήν τήν προσευχήν, μανθάνομεν πρῶτον, πώς τῇ ἀληθείᾳ ἦτον ἄνθρωπος, καί ὄχι κατά φαντασίαν ἐφάνη ἄνθρωπος, καθώς οἱ παλαιοί αἱρετικοί ἐφλυάρησαν· ὅτι ὡς ἄνθρωπος ὁποῦ ἐκινδύνευεν εἰς θάνατον, ἐζήτει βοήθειαν ἀπό τόν δυνάμενον σώζειν. Δεύτερον, μανθάνομεν ἀπό αὐτήν, ὡσάν ἀπό πρωτότυπον παράδειγμα, ὅτι καί ἡμεῖς εἰς τούς πειρασμούς καί τάς θλίψεις καί κινδύνους ὁποῦ

μᾶς ἔρχονται, πρέπει καί συμφέρει, καί ἀνάγκη εἶναι νά προστρέχωμεν εἰς τόν Θεόν, καί ἐκεῖθεν νά ἐλπίζωμεν τήν ἀπαλλαγήν τῶν συμφορῶν μας, ἄν ἡ Θεία του Πρόνοια κρίνῃ διά συμφέρον τήν ἀπαλλαγήν. Τρίτον, μᾶς διδάσκουσιν οἱ Θεῖοι Διδάσκαλοι, ὅτι μέ τόν φόβον ἐκεῖνον, καί τήν πρός Θεόν ἐκτενῆ προσευχήν, ἠπάτησε καί τόν διάβολον, ὥστε νά τόν θαῤῥῇ ψιλόν ἄνθρωπον, καί νά μήν ἀντισκόψῃ τοῦ θανάτου τό μυστήριον. Λέγει ἔπειτα, ὁ Εὐαγγελιστής, ὅτι γυρίζων ἀπό τήν προσευχήν του ὁ Χριστός, εὗρε τούς Μαθητάς βεβυθισμένους εἰς τόν ὕπνον, καί τρόπον τινά μέ ἠμερότητα τούς ἤλεγξε, λέγων, μάλιστα πρός τόν Πέτρον ἀποτεινόμενος, καί τόσον δέν ἠμπορέσατε μίαν ὥραν νά ἀγρυπνήσητε ὁμοῦ μέ ἐμέ; ἤγουν σύ Πέτρε ὁποῦ ἐκαυχήθης, νά ἀγωνισθῇς ὑπέρ ἐμοῦ μέχρι θανάτου, κοιμᾶσαι τόσον πολύ ὁμοῦ μέ τούς ἄλλους; ὅτι προλαβών τοῖς εἶπε, σταθῆτε ἐδῶ, καί γρηγορεῖτε μετ' ἐμοῦ· Τελειώνων τήν προσευχήν, διέβη πέραν τοῦ χειμάῤῥου τῶν Κέδρων, ἔνθα ἦν κῆπος, καί ἐκεῖ ἐστάθη μετά τῶν Μαθητῶν του, τρόπον τινά προσμένων τόν προδότην, καθώς τό προεῖπεν, ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν, ἰδού ἤγγικεν ὁ παραδιδούς με. Ἤξευρε δέ καί ὁ Ἰούδας, ὅτι ἐσυνήθιζε νά πηγαίνῃ εἰς ἐκεῖνον τόν τόπον· ὅθεν καί πέρνων μερικούς στρατιῶτας, καί ὑπηρέτας ἐκ τῶν Ἀρχιερέων, καί Φαρισαίων, καί ἄλλον ὄχλον πολύν, ἔφθασεν ἐκεῖ μετά φανῶν καί λαμπάδων, καί μετά μαχαιρῶν καί

ξύλων· καί ἐπειδή δέν τόν ἐγνώριζον, τοῖς ἔδωκεν ὁ κατάρατος σημεῖον, λέγων, ὅτι ὅποιον ἐγώ φιλήσω, ἐκεῖνος εἶναι ὁ ζητούμενος, καί πιάσετέ τον. Ὁ δέ Χριστός τοῖς εἶπεν, ὡς ἐπί ληστήν ἐξήλθετε μετά μαχαιρῶν καί ξύλων συλλαβεῖν με; ἐγώ παῤῥησίᾳ ἐδίδασκον ἐν τῷ Ἱερῷ καί ἐν ταῖς Συναγωγαῖς, καί δέν μέ ἐπιάσατε, καί τώρα ἤλθετε μετά μαχαιρῶν καί ξύλων νά μέ πιάσητε ὡς ληστήν; Τότε ὁ Πέτρος θερμότερος ὤν, ἐπειδή ἔλαχε νά βαστᾷ μάχαιραν, τήν ἐτράβηξε, καί ἔκοψε μέ ἐκείνην τό αὐτί ἑνός ἀπό τούς δούλους τοῦ Ἀρχιερέως, ὅστις ὠνομάζετο Μάλχος· τό ὁποῖον ὁ ἀνεξίκακος Ἰησοῦς εὐθύς ἰάτρευσεν, ἐπιπλήττων καί τόν Πέτρον, πώς δέν τό ἔκαμε καλά, ὤν ἄνθρωπος πνευματικός νά μεταχειρίζηται μάχαιραν. Εἰς καιρόν δέ νυκτός ἐπῆγαν, διότι ἐφοβοῦντο νά μή γένῃ καμμία ἐπανάστασις, ἀπό τόν κοινόν λαόν. Κρατήσαντες λοιπόν τόν Ἰησοῦν οἱ δήμιοι, τόν ἔφεραν δεδεμένον, εἰς τήν αὐλήν τοῦ Ἀρχιερέως, ὅστις ἦτον πενθερός τοῦ Καϊάφα· ὅτι ἐκεῖσε εἶχον συναχθῆ, ὅσοι τόν κατά τοῦ Χριστοῦ φόνον ἔπνεον, δηλαδή καί Ἀρχιερεῖς καί Φαρισαῖοι καί Γραμματεῖς. Καί ἐδῶ ἐσυνέβη τό τοῦ Μακαρίου Πέτρου ναυάγιον· ὅτι κατά τήν πρόῤῥησιν τοῦ Δεσπότου Χριστοῦ, ἀφ' οὗ ἐρωτήθη τρίς ἄν εἶναι καί αὐτός ἀπό τήν συντροφίαν τοῦ Ἰησοῦ, ἠρνήθη τρίς, μετά ἀναθέματος τοῦ ἑαυτοῦ του, ὅτι οὐκ οἶδε τόν ἄνθρωπον· καί εὐθύς ὁποῦ ἐτελείωσε τήν τρίτην ἄρνησιν, ἰδού καί ἐφώναξεν ὁ πετει-

νός· καί ὁ Πέτρος ἀκούσας τήν φωνήν τοῦ πετεινοῦ, καί ἐνθυμηθείς τοῦ Διδασκάλου τήν προφητείαν, ἐξελθών ἔξω ἐκείνης τῆς μιαρᾶς αὐλῆς ἔκλαυσε πικρῶς. Ἐκεῖθεν, ἤτοι ἀπό τόν Ἄνναν, τόν φέρουσιν οὕτω κατάδικον εἰς τόν Ἀρχιερέα Καϊάφαν· καί ἐδῶ λαμβάνει ἐμπτυσμούς, καί κολαφισμούς, καί ψευδομάρτυρες ζητοῦνται διά νά τόν θανατώσουν. Εἶτα ἡμέρας γενομένης, φέρεται ἀπό τοῦ Καϊάφα εἰς τόν Πιλᾶτον· καί αὐτοί, λέγει, ὁποῦ τόν ἐπῆγαν, οἱ παρανομώτατοι, καί πάντῃ ἀκάθαρτοι, οὐκ εἰσῆλθον εἰς τό πραιτώριον, διά νά μή μιανθῶσιν, ἀλλά νά φάγωσι, δηλαδή καθαροί οἱ φονεῖς τό πάσχα· ὥστε καί ἀπό τόν λόγον τοῦτον τοῦ Εὐαγγελιστοῦ Ἰωάννου, συμπεραίνεται, ὅτι ὁ Χριστός τόν χρόνον ἐκεῖνον, οὔτε ἔκαμεν, οὔτε ἔφαγε τό πάσχα τό νομικόν, καθώς οὐκ ὀρθῶς τοῦτο λέγουσι τινές. Λοιπόν, διά ταῦτα ἑορτάζειν παρελάβομεν, τά φοβερά καί ἀῤῥητα ἔργα πάντα τοῦ Σωτῆρος ἡμῶν, οὗ τινος καί δεόμενοι λέγομεν· τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον, καί σῶσον ἡμᾶς, ὡς φιλάνθρωπος. Ἀμήν.





ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ

Τῇ ἁγίᾳ καί μεγάλῃ Παρασκευῇ τά ἅγια καί σωτήρια καί φρικτά πάθη τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιτελοῦμεν· τούς ἐμπτυσμούς, τά ῥαπίσματα, τά κολαφίσματα, τάς ὕβρεις, τούς γέλωτας, τήν πορφυρᾶν χλαῖναν, τόν κάλαμον, τόν σπόγγον, τό ὄξος, τούς ἥλους, τήν λόγχην, καί πρό πάντων τόν σταυρόν καί τόν θάνατον, ἅ δι' ἡμᾶς ἑκών κατεδέξατο· ἔτι δέ καί τήν τοῦ εὐγνώμονος λῃστοῦ, τοῦ συσταυρωθέντος αὐτῷ, σωτήριον ἐν τῷ σταυρῷ ὁμολογίαν.

Α΄

Ἀφοῦ ὁ Κύριος ἡμῶν τριάκοντα ἀργυρίοις πρός τοῦ φίλου καί μαθητοῦ πραθείς παρεδόθη, πρῶτον πρός Ἄνναν ἄγεται τόν ἀρχιερέα. Ὅς δή στέλλει αὐτόν πρός τόν Καϊάφαν, ὅπου ἐνεπτύσθη, καί κολαφιζόμενος κατά κόῤῥης, ἐμπαιζόμενός τε ὁμοῦ καί γελώμενος, ἤκουσε· *Προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε;* Ἐκεῖσε καί ψευδομάρτυρες ἦλθον κατηγοροῦντες, ὡς εἶπε· *Διαλύσατε τόν ναόν τοῦτον, καί ἐν τρισίν ἡμέραις ἐγερῶ αὐτόν*, καί ὅτι *Υἱόν εἶπεν ἑαυτόν τοῦ*

Θεοῦ· ὅτε καί ὁ ἀρχιερεύς, δῆθεν τήν βλασφημίαν μή ἀνασχόμενος, τόν ἑαυτοῦ χιτῶνα διέῤῥηξε.

Πρωΐας δέ γενομένης, ἄγεται τῷ Πιλάτῳ εἰς τό πραιτώριον, καί *αὐτοί οὐκ εἰσῆλθον*, φησίν, *ἵνα μή μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τό πάσχα.* Πάσχα δέ τήν ἑορτήν ὅλην λέγει, ἥ καί τότε ἦν, ὡς ἔοικεν· ὁ δέ Χριστός πρό μιᾶς ἡμέρας τοῦτο ἐποίησε, συντυθῆναι θέλων τό νομικόν Πάσχα κατά τήν Παρασκευήν. Ἐξελθών δέ ὁ Πιλᾶτος ἐρωτᾷ αὐτούς τί αὐτοῦ κατηγοροῦσι. Καί ἐπειδή μηδέν ἀνάλογον εὗρε εἰς κατηγορίαν, στέλλει αὐτόν πρός τόν Ἡρῴδην· ὁ δέ πάλιν πρός τόν Πιλᾶτον. Καί γάρ οὗτος ἦν ὁ πρός τόν αὐτοῦ φόνον ὁρμῶν. Ὁ δέ λέγει· *Λάβετε αὐτόν ὑμεῖς καί σταυρώσατε καί κατά τόν νόμον ὑμῶν κρίνατε.* Οἱ δέ πάλιν λέγουσιν· *Οὐκ ἔξεστιν ἡμῖν ἀποκτεῖναι οὐδένα*, σταυρῶσαι τόν αὐτόν Πιλᾶτον διερεθίζοντες. Ἐρωτᾷ δέ τόν Χριστόν ὁ Πιλᾶτος, εἰ βασιλεύς τῶν Ἰουδαίων ἐστίν· ὁ δέ ὁμολογεῖ μέν, ἀλλ' αἰώνιος· *οὐ γάρ ἐκ τοῦ κόσμου τούτου ἡ ἐμή βασιλεία*, φησί.

Βουλόμενος δέ αὐτόν ἀπολῦσαι ὁ Πιλᾶτος, πρῶτον μέν ἐκείνοις φησίν οὐδεμίαν κατ' αὐτοῦ εὐπρόσωπον αἰτίαν εὑρίσκειν· εἶτα τό καθ' ἑορτήν ἔθιμον ἕνα τῶν δεσμίων ἀπολύειν προβάλλεται· τοῖς δέ ἀρεστός ὁ Βαραββᾶς τοῦ Χριστοῦ μᾶλλον δοκεῖ. Ὁ δέ Πιλᾶτος, τοῖς Ἰουδαίοις χαριζόμενος, μαστίξας τόν Ἰησοῦν πρότερον, συνεξάγει τοῖς στρατιώταις, χλαμύδα περιβεβλημένον

κοκκίνην, ἀκάνθινόν τε στέφανον περικείμενον, καί περί τήν δεξιάν αὐτοῦ κάλαμον ἐμβαλών, ἐμπαιζόμενόν τε παρά τῶν στρατιωτῶν, *Χαῖρε*, λεγόντων, *ὁ βασιλεύς τῶν Ἰουδαίων.* Πλήν οὕτω πρός χάριν ἐμπαροινήσας, αὖθις φησίν ὁ Πιλᾶτος· *Οὐδεμίαν αἰτίαν θανάτου εὑρίσκω ἐν αὐτῷ.* Οἱ δέ, *ἀλλ' ἡμεῖς αὐτόν κολάσομεν*, λέγοντες, *ὅτι ἑαυτόν υἱόν ὀνομάζει Θεοῦ.* Τούτων δέ λεγομένων, ὁ Ἰησοῦς ἐσιώπα. Οἱ δέ ὄχλοι ἔκραζον πρός τόν Πιλᾶτον· *Σταύρωσον, σταύρωσον αὐτόν.* Ἀτίμῳ γάρ θανάτῳ περιβαλεῖν αὐτόν ἤθελον, ἵν' ἐκ τοῦ μέσου τήν ἀγαθήν αὐτοῦ μνείαν ποιήσωσιν. Ἐντρέπων δέ αὐτούς ὡσανεί ὁ Πιλᾶτος, λέγει· *Τόν βασιλέα ὑμῶν σταυρώσω;* Οἱ δέ μή βασιλέα ἔχειν φασίν ἄλλον ἤ καίσαρα. Ἐπειδή γάρ τήν βλασφημίαν εἰπόντες οὐδέν ἤνυσαν, ἐπί τόν καίσαρα ἀναφέρουσιν, ἵνα κἄν οὕτω τήν μανίαν πληρώσωσι· λέγουσι γάρ· *Πᾶς ὁ βασιλέα ἑαυτόν ποιῶν ἀντιλέγει τῷ καίσαρι.*

Ἐν τούτοις δέ ὄντων, ἡ γυνή τῷ Πιλάτῳ ἀπέστειλεν, ὀνείρασι φοβεροῖς ἐκδειματωθεῖσα, *Μηδέν σοι*, λέγουσα, *καί τῷ δικαίῳ ἐκείνῳ· ἤδη γάρ ἐκείνου χάριν πολλά κατά τήν νύκτα πέπονθα.* Καί ὅς νιψάμενος, τήν τοῦ αἵματος ἐκείνου δῆθεν αἰτίαν ἐκκρούεται. Οἱ δέ ἔκραζον· *Τό αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καί ἐπί τά τέκνα ἡμῶν· εἰ τοῦτον ἀφῇς ἄνετον, οὐκ εἶ φίλος τοῦ καίσαρος.* Τοῦτον οὖν, δήσας ὁ Πιλᾶτος, καί περ ἀκριβῶς εἰδώς αὐτόν ἀνεύθυνον, τῇ τοῦ σταυροῦ καταδίκῃ ἐκ-

δίδωσιν, ἀπολύσας τόν Βαραββᾶν. Ὅπερ ἰδών Ἰούδας, τά ἀργύρια ῥίψας, ἀναχωρεῖ, καί ἀπελθών ἀγχόνῃ ἑαυτόν διεχρήσατο, δένδρῳ ἀπῃωρηθείς, ὕστερον δέ λίαν ἐξογκωθείς διαῤῥήγνυται.

Οἱ μέν τοι στρατιῶται, τῷ καλάμῳ ἐπί τήν κεφαλήν αὐτοῦ ἐμπαίξαντες, ἐπιφορτίζουσιν αὐτῷ τόν σταυρόν· εἶτα καί τόν ἀπό Κυρήνης Σίμωνα ἀγγαρεύσαντες, τόν σταυρόν βαστάζειν ἐπείγουσι. Περί δέ ὥραν τρίτην ἐν τῷ τοῦ Κρανίου τόπῳ γενόμενοι, ἐκεῖ σταυροῦσιν αὐτόν, παρ' ἑκάτερα καί δύο ἄλλους λῃστάς ἐξαρτήσαντες, ἵνα κἀκεῖνος ὡς κακοῦργος λογίζοιτο. Εὐτελείας δέ χάριν μερισμόν οἱ στρατιῶται τοῖς ἱματίοις αὐτοῦ βάλλουσι· κλήρῳ δέ τόν ἄῤῥαφον αὐτοῦ χιτῶνα διδοῦσιν, πᾶσαν παρανομίας ὑπερβολήν ἐργαζόμενοι. Οὐ ταῦτα δέ μόνον, ἀλλά καί ἐπί τοῦ σταυροῦ μυκτηρίζοντες ἔλεγον· *Οὐά, ὁ καταλύων τόν ναόν καί ἐν τρισίν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν.* Καί πάλιν· *Ἄλλους ἔσωσεν, ἑαυτόν οὐ δύναται σῶσαι.* Καί αὖθις·

218 *Εἰ βασιλεύς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπό τοῦ σταυροῦ, καί πιστεύσομεν εἰς αὐτόν.* Καίτοι γε, εἰ ἀληθῆ ἔλεγον, ἐχρῆν ἀδιστάκτως αὐτῷ προσελθεῖν· οὐ μόνον γάρ τοῦ Ἰσραήλ βασιλεύς ἐγνωρίζετο, ἀλλά καί τοῦ κόσμου παντός· τί γάρ ἐβούλετο τό σκοτάζειν τόν ἥλιον ἐν ὥραις τρισί καί ἐν μέσῳ δή τῆς ἡμέρας, ἵνα πᾶσιν εἴη τό πάθος κατάδηλον, τό τήν γῆν σείεσθαι, πέτρας ῥήγνυσθαι, τό ἀντίτυπον τῶν Ἰουδαίων διελεγχούσας,

πολλά σώματα ἀνίστασθαι, καταπέτασμα τοῦ ναοῦ διαῤῥήγνυσθαι, ὥσπερ τοῦ νεώ θυμουμένου διά τόν ἐν αὐτῷ δοξαζόμενον πάσχοντα, καί τά τοῖς πολλοῖς ἀνακαλύπτων ἀθεώρητα;

Τρίτῃ μέν οὖν ὥρᾳ ἐσταύρωται ὁ Χριστός ὡς ὁ θεῖος Μᾶρκος φησίν· ἀπό δέ ἕκτης ὥρας ἕως ἐνάτης σκότος ἐγένετο· ὅτε καί Λογγῖνος ὁ ἑκατόνταρχος, τά παράδοξα κατιδών, καί μᾶλλον τόν ἥλιον, μέγα ἀνέκραξεν· *Ἀληθῶς Θεοῦ υἱός ἦν οὗτος.* Τῶν μέντοι λῃστῶν ἕτερος ὕβριζε τόν Ἰησοῦν· ὁ δέ ἕτερος διεκώλυεν αὐτόν, ἐπιτιμῶν ἐμβριθέστερον, καί τόν Χριστόν Υἱόν Θεοῦ ὡμολόγει· τῆς πίστεως δέ αὐτόν ὁ Σωτήρ ἀμειβόμενος, τήν μετ' αὐτοῦ ἐν τῷ παραδείσῳ ὑπισχνεῖται διαγωγήν.

Πάσης τοιγαροῦν ὕβρεως ἐπ' αὐτῷ πληρωθείσης, ὁ Πιλᾶτος καί τίτλον ἀνέγραψεν ἐπ' αὐτῷ, λέγοντα· *Ὁ βασιλεύς τῶν Ἰουδαίων·* κἄν ἐκεῖνοι ἀπεῖργον μή γράφειν οὕτως, ἀλλ' ὅτι ἐκεῖνος εἶπεν οὕτως· ὁ δέ Πιλᾶτος, *Ὅ γέγραφα, γέγραφα,* πάλιν ἀντέφησεν. Εἶτα, τοῦ Σωτῆρος *Διψῶ* ἀνειπόντος, ὕσσωπον σύν ὄξει αὐτόν κεραννύουσι· καί εἰπών *Τετέλεσται,* κλίνας τήν κεφαλήν, παρέδωκε τό πνεῦμα. Πάντων δ' ἐκποδών γενομένων, ἡ Μήτηρ αὐτοῦ παρίστατο παρά τῷ σταυρῷ καί ἡ ἀδελφή αὐτῆς Μαρία ἡ τοῦ Κλωπᾶ· ἥν ὁ Ἰωακείμ ἐγέννησε τῷ Κλωπᾷ, ἄπαιδι τεθνηκότι· ἔτι καί Ἰωάννης ὁ φιλούμενος αὐτοῦ μαθητής.

Οἱ τοίνυν ἀγνώμονες Ἰουδαῖοι, μηδ' ἐπί τοῦ σταυροῦ τά σώματα βλέπειν ἀρκούμενοι, ἠρώτησαν τόν Πιλᾶτον, (ἐπεί μεγάλη ἦν ἡ ἡμέρα τοῦ Πάσχα καί ἡ Παρασκευή), ἵνα τά τῶν καταδίκων σκέλη θλασθῶσιν, ὡς ἄν ταχύτερον ὁ θάνατος ἐπιγένηται· καί τῶν μέν τά σκέλη συνέτριψαν· ἔτι γάρ ἔζων· ἐπί δέ τόν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτόν ἤδη τεθνηκότα, τοῦ συντρίψαι ἀπέσχοντο. Εἷς δέ τις τῶν στρατιωτῶν, τοῖς ἀγνώμοσι χαριζόμενος, ἀνατείνας τό δόρυ, κατά τήν δεξιάν πλευράν νύττει τόν Χριστόν, καί εὐθέως ἐξῆλθεν αἷμα καί ὕδωρ· τό μέν ὡς ἄνθρωπος, τό δέ ὡς ὑπέρ ἄνθρωπον· ἤ, τό μέν αἷμα διά τήν τῶν θείων ἁγιασμάτων μετάληψιν, τό δέ ὕδωρ διά τό βάπτισμα. Αὕτη γάρ ἡ δίκρουνος τῷ ὄντι πηγή τό καθ' ἡμᾶς συνέχει μυστήριον. Ταῦτα καί Ἰωάννης ἰδών ἐμαρτύρησε, καί ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ, ὅτι παρών ἐφ' ἅπασι καί ὁρῶν γράφει, καί ὅτι, εἰ ψευδῆ εἶχε λέγειν, οὐκ ἄν τά πρός ἀτιμίαν τοῦ Διδασκάλου δοκοῦντα συνέγραψε. Τοῦτον φασί τόν τότε παρόντα ἀγγείῳ τινί ἀπό τῆς ζωηρύτου πλευρᾶς τό θεῖον αἷμα καί ὑπεράγιον δέξασθαι.

220

Τούτων δέ οὕτως ὑπερφυῶς διαπεπραγμένων, ἐπεί πρός ἑσπέραν ἦν ἤδη, Ἰωσήφ ὁ ἐξ Ἀριμαθαίας ἔξεισι, μαθητής τά πρῶτα, ὡς οἱ λοιποί κρυπτόμενος, καί τῷ Πιλάτῳ προσελθών μετά τόλμης, γνωρίμῳ γε ὄντι, αἰτεῖται τό σῶμα τοῦ Ἰησοῦ· ὁ δέ λαβεῖν ἐπιτρέπει. Καί δή ἀπό τοῦ σταυροῦ τοῦτο καταγαγών, πανευλα-

βῶς ἔθετο· ἄρτι δ' ἐπιλαβούσης νυκτός, ἔρχεται Νικόδημος, φέρων σμύρνης καί ἀλόης τι μῖγμα σχεδιασθέν τῷ καιρῷ, καί σινδόνι περιελίξαντες, ὡς ἦν Ἰουδαίοις ποιεῖν, σύνεγγυς ἔθεντο ἐν τῷ ἐκ πέτρας λελατομημένῳ μνημείῳ τοῦ Ἰωσήφ, ἔνθα οὐδείς πρότερον ἔπεσεν, ἵνα μή, τοῦ Χριστοῦ ἀναστάντος, ἑτέρῳ τήν ἀνάστασιν ἐπιγράφωσι. Τοῦ δέ μίγματος τῆς ἀλόης καί τῆς σμύρνης, κολλητικῶν ὄντων, ὁ εὐαγγελιστής ἐμνημόνευσεν, ἵνα, ὅταν ἴδωσι τήν σινδόνα καί τό σουδάριον τῷ τάφῳ καταλειφθέντα, μή νομίσωσι κλαπῆναι αὐτόν· πῶς γάρ ἄν, ἀδείας τοσαύτης μή οὔσης, ὥστε καί ἀποσπᾶν ἐκεῖνα οὕτως ἐμπεφυκότα τῇ σαρκί; Ταῦτα πάντα γεγενημένα παραδόξως κατά τόν τῆς Παρασκευῆς καιρόν, καί ἡμᾶς τούτων ἁπάντων μνείαν ποιεῖσθαι μετά συντριβῆς καρδίας καί κατανύξεως οἱ θεοφόροι πατέρες ἐθέσπισαν.

Ἰστέον μέν τοι ὡς τῇ ἕκτῃ ἡμέρᾳ τῆς ἑβδομάδος, δηλαδή τῇ Παρασκευῇ, ἐσταυρώθη ὁ Κύριος διά τό καί τῇ ἕκτῃ ἡμέρᾳ τό κατ' ἀρχάς πλασθῆναι τόν ἄνθρωπον. Ἀλλά καί τῇ ἕκτῃ ὥρᾳ τῆς ἡμέρας ἐν τῷ σταυρῷ ἐκρέματο· ὅτι ἐν ταύτῃ, ὥς φασι, καί ὁ Ἀδάμ τοῦ ἀπηγορευμένου ξύλου τάς χεῖρας ἐκτείνας ἥψατο, καί ἀπέθανεν· ἐχρῆν γάρ τόν κατ' αὐτήν συντριβέντα κατ' αὐτήν πάλιν ἀναπλασθῆναι. Ἐν κήπῳ δέ, ὅτι καί ὁ Ἀδάμ ἐν τῷ Παραδείσῳ. Ἡ πικρά πόσις τήν γεῦσιν εἰκόνιζε. Τό ῥάπισμα τήν ἡμῶν ἐλευθερίαν ἐδήλου. Ὁ ἐμπτυσμός καί ἡ ἄτιμος περιαγωγή τήν περί ἡμᾶς τι-

μήν. Ὁ ἀκάνθινος στέφανος τήν καθ' ἡμῶν ἀποτροπήν τῆς ἀρᾶς. Ἡ πορφυρᾶ χλαμύς διά τούς δερματίνους χιτῶνας καί τήν περί ἡμᾶς βασιλικήν στολήν. Οἱ ἧλοι τήν παντελῆ τῆς ἡμῶν ἁμαρτίας ἀκινησίαν. Ὁ Σταυρός τό ξύλον τό ἐν τῷ παραδείσῳ. Ἡ νυγεῖσα πλευρά τήν τοῦ Ἀδάμ εἰκόνιζεν, ἀφ' ἧς ἡ Εὔα, ἐξ ἧς ἡ παράβασις. Ἡ λόγχη τήν φλογίνην ῥομφαίαν μοι ἀποστρέφει. Τό ἐκ πλευρᾶς ὕδωρ εἰκών τοῦ βαπτίσματος. Τό αἷμα καί ὁ κάλαμος, δι' ὧν ἡμῖν ἐρυθροῖς γράμμασιν ὡς βασιλεύς τήν ἀρχαίαν πατρίδα ἀπεχαρίσατο.

Λέγεται μέν τοι τό τοῦ Ἀδάμ κρανίον ἐκεῖσε κεῖσθαι, ὅπου καί ὁ Χριστός, ἡ κεφαλή πάντων ἐσταύρωται· ἐβαπτίσθη οὖν τῷ τοῦ Χριστοῦ αἵματι καταῤῥεύσαντι. Κρανίου δέ τόπος λέγεται, ὅτι περ ἐν τῷ κατακλυσμῷ, ἀναῤῥυείσης ἔξω τῆς γῆς, τῆς τοῦ Ἀδάμ κεφαλῆς ὀστοῦν καί μόνον περιάγεσθαι, οἷόν τι τέρας ὁρώμενον. Ὅπερ Σολομών, αἰδοῖ τοῦ προπάτορος, λίθοις πλείστοις σύν ἅμα τῷ παντί στρατῷ κατεκάλυψε· καί δή ὁ τόπος ἔκτοτε Λιθόστρωτος ὠνομάσθη. Φασί μέν τοι τῶν ἁγίων οἱ ἔγκριτοι ἐκ παραδόσεως ἔχειν καί αὐτόν τόν Ἀδάμ ἐκεῖσε ὑπό ἀγγέλου ταφῆναι. Ὅπου τοίνυν τό πτῶμα, ἐκεῖ καί ὁ ἀετός ἐπέστη Χριστός, ὁ αἰώνιος βασιλεύς, ὁ νέος Ἀδάμ, τόν παλαιόν διά ξύλου πεσόντα ξύλῳ ἰώμενος.

Τῇ ὑπερφυεῖ καί περί ἡμᾶς παναπείρῳ σου εὐσπλαγχνίᾳ, Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Τῇ Ἁγίᾳ καί Μεγάλῃ Παρασκευῇ ἐπιτελοῦμεν τά Ἅγια καί σωτήρια καί φρικτά Πάθη τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἅ δι' ἡμᾶς ἑκών κατεδέξατο, ἤγουν τούς ἐμπτυσμούς, τούς γέλωτας, τά ῥαπίσματα, τά κολαφίσματα, τάς ὕβρεις, τήν πορφυράν χλαίναν, τόν κάλαμον, τόν σπόγγον, τό ὄξος, τούς ἥλους, τήν λόγχην, καί τέλος πάντων, τόν σταυρόν, καί τόν θάνατον, τά ὁποῖα ὅλα ἔγιναν, καί τά ἔπαθεν, εἰς τήν ἡμέραν τῆς Παρασκευῆς. Ὅτι ἀφ' οὗ ὁ φίλος καί μαθητής του ὁ Ἰούδας, τόν παρέδωκεν εἰς τάς χεῖρας τῶν ἐχθρῶν του, πρῶτον ἐφέρθη δεμένος εἰς Ἄνναν τόν Ἀρχιερέα· καί οὗτος τόν στέλλει εἰς τόν Καϊάφαν· καί ἐκεῖ ἐμπτύεται εἰς τό πρόσωπον, καί κολαφίζεται εἰς τό μάγουλον, καί ἐμπαίζοντες καί περιγελῶν αὐτόν οἱ δυσσεβεῖς, τόν ἔλεγον, προφήτευσον ἡμῖν Χριστέ, ποῖος εἶναι ὁποῦ σέ ἐκτύπησε ἔχοντές του σκεπασμένους μέ πανί τούς ὀφθαλμούς. Ἐκεῖ ἔφερον καί ψευδομάρτυρας καί κατηγοροῦντας, πώς εἶπε, χαλάσατε τόν Ναόν τοῦτον, καί ἐγώ εἰς τρεῖς ἡμέρας, νά τόν μετακτίσω· καί ὅτι τόν ἑαυτόν του ὠνόμασεν Υἱόν τοῦ Θεοῦ· καί ὁ Ἀρχιερεύς τάχα τήν βλασφημίαν μήν ὑποφέρων, ἔσχισε τό φόρεμά του πρός τό μέρος τοῦ στήθους του, καθώς τότε ἐσυνήθιζον νά τό κάνουν, ὅταν ἔξαφνα ἤκουον κανέν ἀνέλπιστον κακόν. Ἔπειτα ἀφ' οὗ ἐξημέρωσε, τόν ἐπῆγαν καί τόν παρέδωκαν εἰς τόν Πιλᾶτον, ἀλλά

αὐτοί, λέγει, δέν ἐμβῆκαν εἰς τό πραιτώριον, ἤτοι εἰς τό κριτήριον. διά νά φάγωσι τό πάσχα καθαροί· καί ἐπειδή αὐτοί δέν ἐμβῆκαν μέσα, εὐγῆκεν ἔξω ὁ Πιλᾶτος, καί τούς ἐρωτᾷ, ποίαν κατηγορίαν ἔχετε, κατά τοῦ ἀνθρώπου τούτου; Αὐτοί ἀπεκρίθησαν, ὅτι ἀνίσως οὗτος δέν ἦτον ἄνθρωπος κακοποιός, ἡμεῖς δέν ἠθέλαμεν ἔλθῃ ἐδῶ ὁμοῦ ὅλοι νά σοῦ τόν παραδώσωμεν· ἀλλ' ἐπειδή εἶναι ταραχοποιός, καί λέγει πώς εἶναι Βασιλεύς, καί τόν ἑαυτόν του ἔκαμεν Υἱόν Θεοῦ, καί ἀνακατώνει τόν κόσμον, διά τοῦτο σοῦ τόν ἐπαραδώσαμεν, καί φωνάζομεν, πώς εἶναι ἄξιος θανάτου. Ὁ Πιλᾶτος ἐξετάζων τόν Ἰησοῦν, καί καταλαμβάνων, πώς ἀπό τόν φθόνον των τόν παρέδωκαν, τούς εἶπε, λάβετε αὐτόν ἐσεῖς, καί κατά τόν νόμον σας κρίνατε αὐτόν ὅτι ἐγώ κατά τούς νόμους, ἔγκλημα θανάτου δέν εὑρίσκω εἰς αὐτόν· μάλιστα, λέγει, τόν ἔστειλα καί εἰς τόν Ἡρῴδην τόν Βασιλέα τῆς Γαλιλαίας, ὁποῦ ἔλαχε νά εἶναι ἐδῶ· καί οὐδέ αὐτός ὁ Ἡρῴδης, αἴτιον θανάτου δέν εὗρηκεν εἰς αὐτόν. Λοιπόν λέγει, νά ὁποῦ εἶναι ἡ ἑορτή τοῦ ἐδικοῦ σας πάσχα, καί συνήθεια ἐπεκράτησε διά τό αἰδέσιμον τῆς ἑορτῆς, νά σᾶς χαρίζω ἕνα ἀπό τούς καταδίκους ὁποῦ εἶναι δέσμιοι, ὡς κακοποιοί· εἰς τήν φυλακήν εὑρίσκεται τώρα δέσμιος φοβερός λῃστής, ὁ Βαραββᾶς· ποῖον λοιπόν θέλετε ἀπό τούς δύω νά ἀπολύσω, τόν Ἰησοῦν ὁποῦ δέν ἔκαμε κανέν κακόν, ἤ τόν Βαραββᾶν, ὁποῦ ἐγέμισε τήν Ἰουδαίαν ἀπό ἀνθρώπινα αἵματα;

καί ἐκραύγασεν ὁ λαός ὁ παράνομος, ὄχι τόν Ἰησοῦν, ἀλλά τόν Βαραββᾶν ἀπόλυσον. Καί πάλιν ὁ Πιλᾶτος, τόν δέ Ἰησοῦν τί νά τόν κάμω; σταύρωσον, σταύρωσον αὐτόν· τόν Βασιλέα σας λέγει νά σταυρώσω; δέν ἔχομεν ἄλλον Βασιλέα, ἀπεκρίθησαν, πάρεξ τόν Καίσαρα· κάθε ἄνθρωπος, ὁποῦ κάμνει τόν ἑαυτόν του Βασιλέα, ἐναντίος εἶναι τοῦ Καίσαρος· ἐπειδή εἶδον, ὅτι ὡς βλάσφημον δέν ἠθέλησε νά τόν καταδικάσῃ εἰς θάνατον, ὁποῦ ἐφώναξαν, πώς λέγει, πώς εἶναι Υἱός Θεοῦ, διά τοῦτο ἀναφέρουσι τήν κατηγορίαν, εἰς τόν Καίσαρα, διά νά ἠμπορέσουν, κἄν τοιούτου εἴδους νά τελειώσουν τήν λύσσαν των. Ὅθεν καί τέλος πάντων, λέγει, βλέπων ὁ Πιλᾶτος ὅτι οὐδέν ὠφελεῖ, ἀλλά περισσότερον ἐφώναζον σταυρωθήτω, ἐζήτησεν ὕδωρ, καί νίπτων τάς χεῖράς του, ἔμπροσθέν των εἶπεν, ἀθῷος ἐγώ νά εἶμαι ἀπό τό αἷμα τοῦ δικαίου τούτου σεῖς νά ὄψεσθε· καί ἀπεκρίθησαν οἱ σκύλοι οἱ λυσσασμένοι μεγάλῃ τῇ φωνῇ λέγοντες, τό αἷμα αὐτοῦ, ἤγουν τό κρίμα τοῦ θανάτου αὐτοῦ, ἄς πέσῃ ἐπάνω εἰς ἡμᾶς καί εἰς τά παιδιά μας. Καί τοιαύτης λογῆς ἀπέλυσεν εἰς αὐτούς τόν Βαραββᾶν τόν λῃστήν· τόν δέ Ἰησοῦν, καί μέ ὅλον ὁποῦ ὡμολόγησεν ὁ ἴδιος, πώς ἦτον ἀθῷος καί δίκαιος, ὅμως χαριζόμενος εἰς τόν παράνομον λαόν, ἀφ' οὗ πρῶτον τοῦ ἔδωκε δαρμόν πολλήν, ἔκαμε τήν ἀπόφασιν ἔγγραφον τοῦ θανάτου, παραδίδων αὐτόν εἰς τάς χεῖράς των δεδεμένον· διωρίζων καί τό εἶδος τοῦ θανάτου, νά

γένῃ μέ σταυρόν, ὁποῦ ἐκεῖνον τόν καιρόν ἐκρίνετο ὁ πλέον ἀτιμώτατος θάνατος. Τό ὁποῖον βλέπων ὁ Ἰούδας ὁ προδότης, μεταμεληθείς ἔῤῥιψε τά ἀργύρια εἰς τόν Ναόν, καί ἀπελθών ἐκρεμάσθη ἀπό ἕν δένδρον, ὅς τις καί εὐθύς δέν ἀπέθανεν, ἀλλά ἐπρίσθη τόσον πολύ πεσμένος κάτω εἰς τήν γῆν, ὥστε ὁποῦ ἔσπασεν εἰς τήν μέσην, καί ἐχύθησαν τά ἐντόσθιά του, καί οὕτως ἀπέῤῥιξε καί τήν μιαράν του ψυχήν. Λαβόντες δέ οἱ στρατιῶται τόν Ἰησοῦν εἰς τήν ἐξουσίαν των, τοῦ ἔκαμαν πολλούς ἐμπαιγμούς, πρός εὐχαρίστησιν τῶν Ἑβραίων, ἔπειτα τοῦ ἐπεφόρτισαν εἰς τούς ὤμους τόν σταυρόν, ἐπάνω εἰς τόν ὁποῖον ἔμελλον νά τόν σταυρώσουν· καί κατόπιν βλέποντες αὐτόν, ὡς φαίνεται ἀποκαμωμένον, ἀπό τά βάσανα ὁποῦ τοῦ ἔκαμαν ὅλην τήν νύκτα, καί φοβούμενοι τρόπον τινά μή τελειώση, πρό τοῦ νά τόν σταυρώσουν κατά τήν ἀπόφασιν ὁποῦ ἔλαβον, ἐπειδή εἰς τόν δρόμον εὗρηκαν τόν Κυρηναῖον Σίμωνα, ἐκεῖνον ἠγγάρευσαν, καί ἐσήκωσεν εἰς τόν ἐπίλοιπον δρόμον τόν σταυρόν αὐτοῦ, καί λοιπόν φθάσαντες εἰς κάποιον τόπον ὁ ὁποῖος κατά τήν Ἑβραϊκήν γλῶσσαν, λέγεται Γολγοθᾶς, Ἑλληνιστί δέ Κρανίου τόπος, ἐκεῖ αὐτόν ἐσταύρωσαν· καί διά νά νομισθῇ, πώς ὡς κακοῦργος ἐσταυρώθη, ἐσταύρωσαν ἀντάμα του καί δύω λῃστάς, ἕνα ἐκ δεξιῶν, καί ἄλλον ἐξ ἀριστερῶν. Ὕστερον οἱ στρατιῶται ἐμοιράσθησαν καί τά φορέματά του, ὄχι ὡς πολύτιμα, ἐπειδή ἦσαν εὐτελέστατα, ἀλλά πρός

ἐμπαιγμόν καί καταφρόνησιν, κάνοντες κάθε ὑπερβολήν παρανομίας. Τόν δέ χιτῶνά του, ἐπειδή ἦτον ἄῤῥαφος, δέν τόν ἔσχισαν, νά πάρῃ καθ' εἷς ἕνα μερίδιον, ἀλλά τόν ἐπῆρεν εἷς βάνοντες κλῆρον. Δέν ἔκαναν δέ μόνον αὐτά τά περιπαίγματα, ἀλλά καί ἐπάνω εἰς τόν σταυρόν, τόν ἐμυκτήριζον λέγοντες, οὐά, ὁ καταλύων τόν Ναόν, καί ἐν τρισίν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· καί πάλιν, ἄλλους ἔσωσεν, ἑαυτόν οὐ δύναται σῶσαι, ἄν εἶναι Βασιλεύς τοῦ Ἰσραήλ, καθὼς ἔλεγεν, ἄς καταβῇ τώρα ἀπό τόν σταυρόν, καί πιστεύσομεν εἰς αὐτόν· ὅλα ταῦτα ἐμπαικτικῶς λέγοντες, διατί ἄν ἀληθῶς τά ἔλεγον, ἔπρεπεν ἀδιστάκτως νά πιστεύσουν εἰς αὐτόν· ὅτι ὄχι μόνον τοῦ Ἰσραήλ Βασιλεύς, ἀλλά καί ὅλου τοῦ Κόσμου, ἐγνωρίζετο· καί τοῦτο ἐφανέρωνε τό σκότος ὁποῦ ἔγινε, καί ἐβάσταξεν ὥρας τρεῖς, ἤτοι ἀπό ὥρας ἕκτης τῆς ἡμέρας, ἕως ὥρας ἐννάτης, διά νά γένῃ δηλαδή, τό πάθος εἰς ὅλον τόν Κόσμον κατάδηλον. Τοῦτο ἐφανέρωνε καί ὁ παγκόσμιος ἐκεῖνος σεισμός τῆς γῆς, καί οἱ πέτραις ὁποῦ ἐσχίσθησαν, διά νά ἐλέγξουν τῶν Ἰουδαίων τήν σκληρότητα. Τοῦτο ἡ ἀνάστασις τῶν πολλῶν σωμάτων, καί πρός βεβαιότητα τῆς κοινῆς ἀναστάσεως, καί πρός δήλωσιν τῆς δυνάμεως τοῦ πάσχοντος. Τοῦτο ἐφανέρωνε καί τό καταπέτασμα τοῦ Ναοῦ, ὁποῦ ἐσχίσθη εἰς δύω μέρη ἀπό ἄνωθεν ἕως κάτω, τρόπον τινά δείχνων τόν θυμόν τοῦ Ναοῦ, ὁποῦ ἔλαβεν, μέ τό νά ἔπασχεν ὁ ἐν αὐτῷ δοξαζόμενος, καί

ἐξεσκέπασεν ἐκεῖνα, ὁποῦ ἕως τότε ἦτον εἰς τούς πολλούς ἀθεώρητα. Τά ὁποῖα ταῦτα παράδοξα, βλέπων καί ὁ καλός Λογγῖνος ὁ Ἑκατόνταρχος, καί μάλιστα τόν σκοτασμόν τοῦ ἡλίου, μεγαλοφώνως ἐβόησεν· ἀληθῶς Θεοῦ Υἱός ἦν οὗτος. Ὁ εἷς δέ ἀπό τούς λῃστάς κακόγνωμος ὤν, ὕβριζε τόν Ἰησοῦν· ὁ δέ ἄλλος τόν ἐμπόδιζε, καί σφοδρῶς τόν ἐπετίμα, ὡς ἀφοβόθεον, ὁποῦ ἐβλασφήμει εἰς ἐκεῖνον, ὁποῦ τίποτες δέν ἔσφαλε, καί Υἱόν Θεοῦ ὡμολόγει τόν Χριστόν, παρακαλῶν αὐτόν νά τόν ἐνθυμηθῇ, ὅταν ἔλθῃ εἰς τήν Βασιλείαν του· εἰς τόν ὁποῖον ὁ Χριστός ἀποκρινόμενος, εἰς ἀνταμοιβήν τῆς καλῆς του πίστεως, τοῦ ὑπεσχέθη, τήν μετ' αὐτοῦ ἐν τῷ Παραδείσῳ διαγωγήν.

Κοντά δέ εἰς ὅλας τάς ὕβρεις, ἔγραψεν ὁ Πιλᾶτος καί τίτλον λέγοντα, Ἰησοῦς ὁ Ναζωραῖος ὁ Βασιλεύς τῶν Ἰουδαίων· ὁ ὁποῖος δέν ἐφάνη ἀρεστός εἰς τούς Ἰουδαίους, καί τόν παρεκάλουν νά γράψῃ, ὄχι ὁ Βασιλεύς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπεν οὕτως. Ὁ δέ Πιλᾶτος ἀπεκρίθη, ὅ γέγραφα, γέγραφα, καί οὕτως ἐσιώπησαν. Μετά ταῦτα, εἰπόντος τοῦ Σωτῆρος διψῶ, ὕσσωπον πικρότατον χόρτον, ἀνακατώσαντες μέ ὄξος, τοῦτο ἐπρόσφεραν οἱ ἀνηλεεῖς εἰς τήν δίψαν του· καί τοῦτο, ὡς τελευταῖον πάθος λαβών, εἶπε τετέλεσται· καί κλίνας τήν κεφαλήν, παρέδωκε τό πνεῦμα· καί τότε ἔγιναν ἀλλεπάλληλα τά εἰρημένα παράδοξα. Τέλος πάντων, φεύγοντες ἐκεῖθεν ὅλοι οἱ ἄλλοι, ἡ Μήτηρ αὐτοῦ

εὗρε καιρόν, καί ἐπλησίασε καί ἐστέκετο κοντά εἰς τόν σταυρόν τοῦ γλυκυτάτου της Υἱοῦ, καί Μαρία ἡ τοῦ Κλωπᾶ, καί ἀκόμη καί ὁ Ἰωάννης, ὁ φιλούμενος ὑπ' αὐτοῦ Μαθητής· εἰς τόν ὁποῖον παρέδωκεν ὡς ἀκριβήν παρακαταθήκην τήν Μητέρα του· καί ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτήν ὁ Μαθητής εἰς τά ἴδια, καί ὡς κόρην ὀφθαλμοῦ τήν ἐφύλαττε. Μετά ταῦτα, οἱ Ἰουδαῖοι μή θέλοντες νά μείνουν οἱ κατάδικοι ἐπάνω εἰς τόν σταυρόν, ἕως εἰς τήν αὔριον, ὡσάν ὁποῦ ἄρχιζαν τά ἄζυμα ἐκεῖνο τό Σάββατον, καί τήν εἶχαν διά μεγάλην ἡμέραν, παρεκάλεσαν τόν Πιλᾶτον, νά τούς δώσῃ ἄδειαν, νά ἐπιταχύνουν τόν θάνατον εἰς τούς σταυρωμένους, μέ τό νά συντρίψουν τά σκέλη των, καί νά τούς κατεβάσουν ἀπό τούς σταυρούς· καί οὕτως, ἐπειδή τούς δύω λῃστάς εὗρον ἔτι ζῶντας, ἐσύντριψαν τά σκέλη των· εἰς δέ τόν Ἰησοῦν ἐλθόντες, ἐπειδή τόν εὕρηκαν ἤδη ἀπεθαμμένον, δέν ἐσύντριψαν αὐτοῦ τά σκέλη, καθώς καί ἦτον προφητευμένον, ὁστοῦν οὐ συντριβήσεται ἀπ' αὐτοῦ· ἀλλ' εἷς ἀπάνθρωπος στρατιώτης τόν ἐλόγχευσεν εἰς τήν πλευράν, κάνων χάριν εἰς τούς ἀγνώμονας Ἰουδαίους, καί εὐθύς ἐχύθη εἰς τά ἔξω, μέσα ἀπό τό νεκρόν σῶμα, (ὦ μέγα θαῦμα!) αἷμα καί ὕδωρ, τό μέν αἷμα διά τήν τῶν θείων ἁγιασμάτων μετάληψιν, τό δέ ὕδωρ διά τό βάπτισμα. ἐπειδή αὐτή ἡ διπλῆ βρύσις, διά νά εἰπῶ οὕτω, βαστᾷ καί συστήνει κατά ἀλήθειαν τό ἐδικόν μας μυστήριον. Αὐτά εἶδε καί ὁ Ἰωάννης καί ἐμαρτύρησε,

καί ἀληθινή εἶναι ἡ μαρτυρία του, διατί καί παρών ἦτον εἰς ὅλα, καί ἐκεῖνα ὁποῦ ἔβλεπεν ἔγραφε· καί ἄν ἤθελε νά πλάττῃ ψεύματα, δέν ἤθελε συγγράφῃ ἐκεῖνα, ὁποῦ φαίνονται πώς προξενοῦν ἀτιμίαν τοῦ Διδασκάλου του. Διά τοῦτον τόν Θεῖον Ἰωάννην λέγουσιν, ὅτι ἐπειδή ἦτον παρών, ὅταν ἐλογχεύθη ἡ θεία πλευρά, ἐδέχθη μέσα εἰς κάποιον ἀγγεῖον τό θεῖον καί ὑπεράγιον Αἷμα, τό ἐκχυθέν ἀπό τήν λογχευθεῖσαν ζωήῤῥητον πλευράν. Ἀφ' οὗ ταῦτα ἔγιναν ὑπέρ φύσιν, καί ἡ ἑσπέρα ἤδη ἔφθασεν, ὁ Ἰωσήφ ὁποῦ ἐκατάγετο ἀπό τήν Ἀριμαθαίαν, Μαθητής καί αὐτός τά πρῶτα, κρυμμένος ὅμως καθώς καί οἱ ἄλλοι, ἐτόλμησε καί ἐβγῆκε, καί ἐπῆγεν εἰς τόν Πιλᾶτον, καί ἐζήτησε τό Σῶμα τοῦ Ἰησοῦ διά νά τό ἐνταφιάσῃ. Καί λαβών τήν ἄδειαν ἐκατέβασεν ἀπό τόν σταυρόν μέ ὅλην τήν εὐλάβειαν τό Θεῖον Σῶμα· καί ἐνταὐτῷ ἦλθε καί ὁ Νικόδημος φέρων μῖγμα ἀπό σμύρναν καί ἀλόην, καί ὁμοῦ τυλίξαντες τό Σῶμα μέ σινδόνα καθαράν, ὁμοῦ καί μέ ἐκεῖνο τό μῖγμα, τό ἐνταφίασαν εἰς τό μνημεῖον, ὁποῦ εἶχε σκαλισμένον ἀπό πέτραν διά λόγου του ὁ Ἰωσήφ, εἰς τό ὁποῖον ἄλλος προτήτερα ἀκόμη δέν ἐτάφη καί τοῦτο κατά θείαν οἰκονομίαν, διά νά μήν ἔχωσι νά λέγωσιν ὕστερον οἱ ἐχθροί, πώς ἄλλος ἀνεστήθη, καί ὄχι ὁ Χριστός. Καί εἰς τό στόμα τοῦ τάφου ἔβαλον διά σκέπασμα, ἕνα μέγαν λίθον καί ἀνεχώρησαν. Ἐπί ταὐτοῦ δέ ὁ Θεῖος Ἰωάννης καί Εὐαγγελιστής, ἀνέφερε τήν σμύρναν καί τήν ἀλόην, μέ τό νά εἶναι φυσικά πολλά

κολλητικά διά νά μήν ἠμποροῦν νά λέγουν οἱ ἐχθροί τῆς Ἀναστάσεως, πώς τόν ἔκλεψαν οἱ Μαθηταί του, καθώς καί διεφήμησαν τοιοῦτον ψεῦδος ὁλοφάνερον· ὡσάν ὁποῦ εὑρέθησαν μέσα εἰς τόν τάφον μόνον ἡ σινδόνα καί τό σουδάριον, τά ὁποῖα δέν ἠμποροῦσαν, οὔτε εἶχον τόσην ἄδειαν, καί ἀφοβίαν ὥστε νά κάθηνται νά τά ξεκολοῦν, καί νά τά ἀφήσουν ἐκεῖ μέσα, ἐκεῖνοι ὁποῦ ἤθελαν νά τόν κλέψουν, καθώς αὐτοί ἐσυκοφάντησαν· ἀλλά δέν ἤξευραν οἱ ἀνόητοι ἐκεῖνοι ὁποῦ ἔπλασαν τό ψεῦδος τοῦτο, πώς οἰκονομικῶς ἔμεινεν μέσα εἰς τόν τάφον ὁ ἔλεγχος τῆς συκοφαντίας των. Αὐτά ὅλα ὁποῦ ἔγιναν εἰς τόν καιρόν τῆς Παρασκευῆς, ἐθέσπισαν οἱ θεοφόροι Πατέρες, νά τά ἀνακαινίζωμεν, μέ τήν ἱεράν ἐνθύμησιν κατ' ἔτος, ὑμνοῦντες, καί δοξάζοντες, τόν ταῦτα πάντα ὑπέρ ἡμῶν παθόντα Κύριον, διά τήν ἄκραν αὐτοῦ ἀγαθότητα. Πρέπει ὅμως νά ἠξεύρωμεν καί κατά μέρος, διατί καί πῶς καθ' ἕνα ἀπό τά θεῖα Πάθη ἔγιναν· ἤγουν, τῇ ἕκτῃ ἡμέρᾳ τῆς ἑβδομάδος, δηλαδή τῇ Παρασκευῇ ἐσταυρώθη ὁ Κύριος, ὅτι καί ἐν τῇ ἕκτῃ ἡμέρᾳ τῆς ἑβδομάδος τό κατ' ἀρχάς ἐπλάσθη ὁ Ἀδάμ, ὁ πρῶτος ἄνθρωπος· καί πάλιν τῇ ἕκτῃ ὥρᾳ ἐκαρφώθη εἰς τόν σταυρόν, ὅτι κατ' αὐτήν τήν ὥραν, καθώς λέγουσι, καί ὁ Ἀδάμ ἅπλωσε τάς χεῖρας, καί ἔλαβε τόν ἐμποδισμένον καρπόν, καί ἔφαγε, καί ἀπέθανε· ἐν κήπῳ ἐσταυρώθη, ὅτι καί ὁ Ἀδάμ ἐν τῷ Παραδείσῳ παρέβη· ἡ πικρά γεῦσις, τήν γεῦσιν τοῦ Ἀδάμ ἐθεράπευσεν· ὁ σταυρός,

τό ξύλον τό ἐν τῷ Παραδείσῳ· ἡ νυγεῖσα πλευρά ὁποῦ ἐπήγασε τήν σωτηρίαν, τήν τοῦ Ἀδάμ εἰκόνιζεν, ἀπό τήν ὁποίαν προῆλθεν ἡ Εὔα, ἐξ ἧς ἡ παράβασις· ἡ λόγχη, τήν φλογίνην ῥομφαίαν εἰκονίζει· τό ἐκ τῆς πλευρᾶς ὕδωρ, εἰκών ἐστάθη τοῦ βαπτίσματος· τό αἷμα καί ὁ κάλαμος ἐσήμαιναν, ὅτι ὁ Χριστός ὡς Βασιλεύς, ἐχάρισεν εἰς ἡμᾶς τήν ἀρχαίαν πατρίδα μέ ἐρυθρά γράμματα· Κρανίου δέ τόπος ἐλέγετο ἐκεῖνο τό μέρος, ὁποῦ ἔπηξαν τόν σταυρόν, ὅτι καθώς λέγουσιν, ἀπό τόν καιρόν τοῦ κατακλυσμοῦ, ἐξεχώσθη ἀπό τήν γῆν ἡ κεφαλή τοῦ Ἀδάμ, καί ἐφαίνετο ὡσάν ἕνα τέρας κόκκαλον μόνον γυμνόν· ὅθεν ὁ Σολομών ὡς τοῦ προπάτορος κρανίον τιμῶν αὐτό, ἐπρόσταξε τόν λαόν καί τό ἐσκέπασαν μέ πέτρας πολλάς· καί ἀπό τότε ὠνομάζετο, Ἑβραϊστί μέν Γολγοθᾶς, Ἑλληνιστί δέ Κρανίου τόπος. Ὅμως κάποιοι ἀπό τούς ἐγκρίτους Ἁγίους Πατέρας, λέγουσιν, ὅτι εἶχον ἐκ παραδόσεως, ὅτι καί αὐτός ὁ Ἀδάμ ἐκεῖ ἐτάφη ἀπό Ἅγιον Ἄγγελον. Λοιπόν, κατά λόγον, καί ἡ κεφαλή πάντων, ὁ Χριστός, ἐκεῖ ἐσταυρώθη· καί ὁ ἐκεῖ τεθαμμένος παλαιός Ἀδάμ, ἐβαπτίσθη καί ἡγιάσθη, ἀπό τό χυθέν ἐπάνω του Θεῖον Αἷμα τοῦ Χριστοῦ· καί ὅπου τό πτῶμα, ἐκεῖ καί ὁ οὐράνιος ἀετός ἐπέστη ὁ Χριστός ὁ αἰώνιος Βασιλεύς, ὁ νέος Ἀδάμ, τόν παλαιόν, τόν διά ξύλου πεσόντα, διά ξύλου τοῦ σταυροῦ ἰώμενος. Τῇ περί ἡμᾶς ὑπεραπείρῳ σου εὐσπλαχνίᾳ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.



ΑΓΙΟ ΚΑΙ ΜΕΓΑΛΟ ΣΑΒΒΑΤΟΝ

Τῷ ἁγίῳ καί μεγάλῳ Σαββάτῳ, τήν θεόσωμον ταφήν καί τήν εἰς ᾅδου κάθοδον τοῦ Κυρίου καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἑορτάζομεν, δι' ὧν τῆς φθορᾶς τό ἡμέτερον γένος ἀνακληθέν πρός αἰωνίαν ζωήν μεταβέβηκε.

Α΄

Πασῶν τῶν ἡμερῶν αἱ Ἅγιαι Τεσσαρακοσταί ὑπερφέρουσι· τούτων δέ πάλιν ἡ ἁγία αὕτη καί μεγάλη Τεσσαρακοστή· ταύτης δέ μείζων ἡ Μεγάλη Ἑβδομάς· καί τῆς Μεγάλης Ἑβδομάδος πάλιν τοῦτο τό μέγα καί ἅγιον Σάββατον. Λέγεται δέ Μεγάλη Ἑβδομάς, οὐχ ὅτι μείζονές εἰσιν αἱ ἡμέραι αὗται ἤ αἱ ὧραι, ἀλλ' ὅτι τά μεγάλα καί ὑπερφυῆ τεράστια καί ἐξαίσια τοῦ Σωτῆρος ἡμῶν ἔργα ἐν ταύτῃ ἐπράχθησαν καί μάλιστα σήμερον. Ὡς γάρ ἐπί τῇ πρώτῃ κοσμογενείᾳ, πᾶν ἔργον διαπραξάμενος ὁ Θεός, καί ὕστερον τό κυριώτατον κατά τήν ἕκτην, πλάσας τόν ἄνθρωπον, τῇ ἑβδόμῃ κατέπαυσεν ἀπό πάντων τῶν ἔργων αὐτοῦ καί ἡγίασεν αὐτήν, Σάββατον ὀνομάσας, ὅ δή κατάπαυσις ἑρμηνεύεται, οὕτω καί ἐν τῇ τοῦ νοητοῦ κόσμου ἐργασίᾳ,

ἀρίστως ἅπαντα ἐργασάμενος, καί κατά τήν ἕκτην ἀναπλάσας αὖθις τόν φθαρέντα ἄνθρωπον, καί ἀνακαινίσας διά τοῦ ζωηφόρου Σταυροῦ καί τοῦ θανάτου, κατά τήν παροῦσαν πάλιν ἑβδόμην κατέπαυσε τήν τελείαν τῶν ἔργων κατάπαυσιν, τόν φυσίζωον ὑπνώσας ὕπνον καί σωτήριον.

Κατῆει μέν οὖν ὁ τοῦ Θεοῦ Λόγος μετά σαρκός ἐν τῷ τάφῳ· κάτεισι δέ καί εἰς τόν ᾅδην μετά τῆς ἀκηράτου αὐτοῦ καί θείας ψυχῆς, διαιρεθείσης τῷ θανάτῳ τοῦ σώματος· ἦν καί εἰς χεῖρας παρέθετο τοῦ Πατρός, ᾧ καί τό ἴδιον αἷμα προσήνεγκεν οὐκ αἰτησαμένῳ, λύτρον ἡμῶν γενόμενον· οὐ γάρ δή ἐν ᾅδου, ὡς αἱ τῶν ἄλλων ἁγίων ψυχαί, κατεσχέθη καί ἡ τοῦ Κυρίου ψυχή· πῶς γάρ, μηδέν τῆς προγονικῆς ἐπαγομένη ἀρᾶς, ὥσπερ ἐκεῖναι; Ἀλλ' οὐδέ τό αἷμα ὁ ἐχθρός ἡμῶν διάβολος ἔλαβε, κἄν ἡμᾶς κατεῖχε, δι' οὗ ἠγοράσθημεν· πῶς γάρ, εἰ μή μόνον παρά Θεοῦ, ἀλλά καί τόν Θεόν αὐτόν ὁ λῃστής διάβολος λαβεῖν εἶχε; Πλήν σωματικῶς καί
234 μετά τῆς Θεότητος ἐνῴκησε τῷ τάφῳ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἄκρως τῇ σαρκί ἑνωθείσης. Συνῆν δέ τῷ λῃστῇ καί ἐν παραδείσῳ, καί ἐν ᾅδῃ ὑπῆρχεν, ὡς εἴρηται, μετά τῆς τεθεωμένης αὐτοῦ ψυχῆς· ὑπερφυῶς δέ καί μετά τοῦ Πατρός ἦν καί τοῦ Πνεύματος συνεδριάζων, οἷα Θεός ἀπερίγραπτος. Πανταχοῦ δέ παρῆν, μηδέν τι τῆς Θεότητος ἐν τῷ τάφῳ πασχούσης, ὥσπερ οὐδέ ἐν τῷ σταυρῷ· καί φθοράν μέν τό Κυριακόν σῶμα

ὑπέστη, ἥτις ἐστί διάζευξις ψυχῆς ἀπό σώματος, διαφθοράν δέ, ἤτοι σαρκός καί μελῶν τελείαν ἀφάνισιν οὐδαμῶς.

Ἀλλ' ὁ μέν Ἰωσήφ, τό ἅγιον σῶμα τοῦ Κυρίου καταγαγών, ἐν μνήματι καινῷ θάπτει καί πλησίον τῶν Ἰουδαίων ἐν κήπῳ, λίθον μέγαν πρός τῇ εἰσόδῳ τοῦ μνήματος θέμενος.

Οἵ γε μήν Ἰουδαῖοι μετά τήν Παρασκευήν προσιόντες λέγουσι τῷ Πιλάτῳ· *Κύριε, μεμνήμεθα ὡς ὁ πλάνος ἐκεῖνος εἶπεν, ὅτε ἔζη, ὡς μετά τρεῖς ἡμέρας ἐγείρομαι. Δοκεῖ οὖν ἡμῖν καλόν εἶναι τῇ σῇ ἐξουσίᾳ κελεῦσαι στρατιάν ἀσφαλίσασθαι τόν τάφον.* Εἰ οὖν πλάνος, τί τῶν ῥημάτων φροντίζετε, ὅτε ἔζη; ὅτι ὁμολογουμένως ἀπέθανε. Πότε δέ εἶπεν, ἐγείρομαι; Ἴσως ἀπό τοῦ κατά Ἰωνᾶν παραδείγματος συνῆγον αὐτό. Πάντως δέ, ἀγνώμονες, εἰ ἀσφαλισθήσεται ὁ τάφος, οὐ κλαπήσεται. Ὦ πῶς οἱ ἀγνώμονες, ὅσα ὑπέρ αὐτῶν ἐποίουν, κατ' αὐτῶν πράττοντες οὐκ ἐγίνωσκον! Τοῦ δέ Πιλάτου κελεύσαντος, αὐτοί μετά στρατιωτικοῦ τάγματος καί ἀκριβοῦς τῆς σφραγῖδος κατησφαλίσαντο τόν τάφον· καί τοῦτο, ἵνα μή, ἀλλοτρίας οὔσης τῆς φυλακῆς καί τῆς σφραγῖδος, ἡ ἀνάστασις τοῦ Κυρίου διαβάλλοιτο. Ἀλλ' ὁ ᾅδης ἀπ' ἄρτι συστρέφεται καί ἰλιγγιᾷ, στερρότερας τῆς δυνάμεως αἰσθανόμενος· συνεξεμέσει τοιγαροῦν μετ' ὀλίγον διά τῆς τοῦ Χριστοῦ ἀδίκου καταπόσεως, τοῦ στερρότατου καί ἀκρογω-

νιαίου λίθου, καί οὗς ἀπ' αἰῶνος παρέθετο τῇ γαστρί, κατάβρωμα ποιησάμενος.

Τῇ ἀνεκφράστῳ σου συγκαταβάσει, Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.


Β΄

Τῷ Ἁγίῳ καί Μεγάλῳ Σαββάτῳ, ἑορτάζομεν, τήν θεόσωμον ταφήν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ καί Σωτῆρος ἡμῶν, καί τήν εἰς ᾅδου κάθοδον αὐτοῦ, διά τῶν ὁποίων τό ἡμέτερον γένος ἐλυτρώθη ἀπό τήν φθοράν, καί μετέβη εἰς τήν αἰώνιον ζωήν· ὅτι διά νά εἰποῦμεν οὕτως, ἀπό ὅλας τάς ἄλλας ἡμέρας τοῦ χρόνου, αἱ Ἅγιαι Τεσσαρακοσταί εἶναι ἀνώτεραι κατά τό σέβας· καί πάλιν ἀπό τάς ἄλλας Τεσσαρακοστάς, ἀνωτέρα εἶναι, ἡ ἁγία καί μεγάλη Τεσσαρακοστή· καί πάλιν ἀπό αὐτήν, ἀνωτέρα καί μεγαλυτέρα εἶναι ἡ Μεγάλη Ἑβδομάς· καί πάλιν ἀπό τήν Μεγάλην Ἑβδομάδα, μεγαλύτερον καί θειότερον εἶναι, τοῦτο τό μέγα καί ἅγιον Σάββατον. Λέγεται δέ Μεγάλη Ἑβδομάς, καί μέγα Σάββατον, ὄχι ὅτι τάχα εἶναι αἱ ἡμέραι αὗται μεγαλύτεραι, ἤ αἱ ὧραι, ἀλλ' ἐπειδή τά μεγάλα καί ὑπερφυῆ τεράστια, καί ἐξαίσια ἔργα τοῦ Σωτῆρος ἡμῶν, ἐν αὐτῇ ἐπράχθησαν τῇ Μεγάλῃ Ἑβδομάδι, διά τοῦτο λέγεται μεγάλη. Σήμερον δέ, ὁ

Κύριος οὔτε ἔπραξεν, οὔτε ἔπαθε τίποτε ἐπάνω εἰς τήν γῆν, ἀλλά σωματικῶς ἐκείτετο εἰς τόν τάφον, ἀπό τό ἑσπέρας τῆς Παρασκευῆς, καί ἡ Ἁγία του Ψυχή ἐκατέβη εἰς τόν ᾍδην διά νά ἐγείρῃ ἐκεῖθεν τούς προπάτορας, ἀντάμα μέ τόν ἑαυτόν του. Καθώς ὅμως εἰς τήν πρώτην Κοσμογεννεσίαν, ὅλα τά ἄλλα ὁ Θεός εἰς τάς ἕξ ἡμέρας ἐποίησε, καί εἰς τήν ὑστερινήν ἡμέραν, ἤγουν τήν ἕκτην, ἔπλασε καί τόν ἄνθρωπον, ἔσχατον καί ὁλοϋστερινόν δημιούργημα, ἔπειτα τήν ἑβδόμην, ἔπαυσεν ἀπό ὅλα του τά ἔργα, καί ἡγίασεν αὐτήν, καί Σάββατον τήν ὠνόμασεν, ὁποῦ θέλει νά εἰπῇ κατάπαυσις· τοιούτου εἴδους καί ἐδῶ εἰς τήν ἐργασίαν τοῦ νοητοῦ Κόσμου, ἀφ' οὗ ἄριστα καί καθώς ἔπρεπεν ἔπραξεν ὅλα, καί εἰς τήν ἕκτην ἡμέραν πάλιν ἀνέπλασε τόν φθαρέντα ἄνθρωπον, καί διά τοῦ ζωηφόρου αὐτοῦ Σταυροῦ, καί θανάτου τόν ἀνανέωσεν, εἰς τήν ἑβδόμην ταύτην ἡμέραν κατέπαυσεν, τήν τελείαν τῶν ἔργων του κατάπαυσιν, ὕπνον (ἤτοι θάνατον) ὑπνώσας τόν ζωοποιόν καί σωτήριον τῆς ἡμετέρας φύσεως. Ἐκατέβη λοιπόν ὁ τοῦ Θεοῦ Λόγος μετά τῆς σαρκός εἰς τόν τάφον· ἐκατέβη δέ καί εἰς τόν ᾍδην, μετά τῆς ἀκηράτου καί θείας αὐτοῦ ψυχῆς, χωρισθείσης ἀπό τό σῶμα μετά τόν θάνατον· τήν ὁποίαν καί εἰς τάς χεῖρας τοῦ Πατρός παρέδωκε, μέ φωνήν μεγάλην εἰπών, κατά τόν Εὐαγγελιστήν Λουκᾶν «Πάτερ, εἰς χεῖράς σου, παραθήσομαι τό πνεῦμά μου» εἰς τόν ὁποῖον ἄναρχον

Πατέρα του, ἐπρόσφερε, καί τό ἴδιόν του Αἷμα, χωρίς νά τό ζητήσῃ, διά νά λυτρώσῃ τούς κατακρίτους ἡμᾶς· ἐπειδή δέν ἐκρατήθη εἰς τόν ᾅδην, καί ἡ τοῦ Κυρίου μας Ψυχή, καθώς αἱ τῶν ἄλλων Ἁγίων ψυχαί· ὡσάν ὁποῦ δέν εἶχεν ποτέ καμμίαν μετοχήν, καθώς αἱ ἄλλαι, ἀπό τήν κατάραν τῶν προπατόρων τοῦ γένους μας· καί ἡ Θεότης ἦτον ἄκρως ἡνωμένη μέ αὐτήν, καί μέ τό Σῶμα ἐν τῷ Σταυρῷ, καί ἐν τῷ τάφῳ, χωρίς νά πάσχῃ τίποτε ἀπό τά ἀνθρώπινα. Καί φθοράν μέν ἔπαθε τό Κυριακόν Σῶμα, ὁποῦ εἶναι ὁ χωρισμός τῆς ψυχῆς ἀπό τοῦ σώματος· διαφθοράν δέ ἤγουν διάλυσιν τῆς σαρκός, καί τῶν μελῶν ἀφανισμόν, οὐδαμῶς. Ἀφ' οὗ δέ, ὡς εἴπομεν χθές, ὁ Ἰωσήφ ἔθαψε τό Θεῖον σῶμα τοῦ Κυρίου, οἱ Ἰουδαῖοι ἐπῆγαν εἰς τόν Πιλᾶτον, καί τοῦ εἶπαν αὐθέντη, ἐνθυμήθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος, ἀκόμη ὅταν ἔζη, εἶπεν ὅτι ὕστερον ἀπό τρεῖς ἡμέρας ἀναστήνομαι· λοιπόν παρακαλοῦμέν σε, πρόσταξαι τούς στρατιῶτας σου, νά κάνουν τήν δυνατήν ἀσφάλειαν εἰς τόν τάφον, διά νά μή τύχῃ καί ὑπάγουν οἱ Μαθηταί του τήν νύκτα καί τόν κλέψωσι, καί ἔπειτα νά κηρύξουν εἰς τόν κόσμον, ὅτι ἀνέστη ἀπό τῶν νεκρῶν, καί τότε ἔχει νά ἀκολουθήσῃ ἡ ἐσχάτη πλάνη χειρων τῆς πρώτης· καί καθώς ἐζήτησαν, τούς ἐδόθη ἄδεια, καί ἔκαμαν καθώς ἠθέλησαν· Καί, ὦ κακοί συκοφάνται, ἄν ἦτον πλάνος, τί φοβεῖσθε ἀπό τά λόγια τοῦ πλάνου, ἀφ' οὗ τόν ἐθανατώσατε ὅτε ἔζη; λοιπόν ὁμολογουμένως ἀπέθανε,

καί ἐξ ἀνάγκης τοῦτο πρέπει νά ὁμολογηθῇ. Πότε, δέ, καί ποῦ φαίνεται νά εἶπεν εἰς τούς Ἰουδαίους κοινῶς, μετά τρεῖς ἡμέρας ἐγείρομαι; ἴσως ἀπό τό παράδειγμα τοῦ Ἰωνᾶ, τό ἐσυμπέραναν· στοχασθῆτε δέ Χριστιανοί, πώς ὅσα ἐκεῖνοι οἱ ἀγνώμονες ἔπραττον, ἐναντία ἦσαν εἰς τήν βουλήν των· ὅτι οἱ ἴδιοι φύλακες ὁποῦ ἔβαλον εἰς τόν τάφον, ἐκεῖνοι ἐστάθησαν μάρτυρες ὕστερον τῆς ἀναστάσεως τοῦ Χριστοῦ. Ἀλλ᾽ ὁ ᾅδης ἀπό τό νῦν, κάτω συστρέφεται, καί ἰλιγγιᾷ, αἰσθανόμενος πώς πάσχει ἀπό δύναμιν κραταιοτάτην καί ἀήττητον· τό λοιπόν, ὕστερον ἀπό ὀλίγον, ἔχει νά ξεράσῃ, διά τῆς τοῦ Χριστοῦ ἀδίκου καταπόσεως, τοῦ στερρότατου καί ἀκρογωνιαίου λίθου, καί ὅλους ἐκείνους, ὁποῦ ἐξ ἀρχῆς κατέφαγε, καί τήν παμφάγον του γαστέρα ἐγέμισε. Τῇ ἀνεκφράστῳ σου συγκαταβάσει Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.


ΗΑΝΑΣΤΑCΙC
ΙC XC

ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ

Τῇ ἁγίᾳ καί μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, αὐτήν τήν ζωηφόρον Ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου, καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Α΄

Τήν παροῦσαν Ἑορτήν προσαγορεύομεν Πάσχα, ὅπερ, τῇ Ἑβραίων διαλέκτῳ, Διάβασις ἑρμηνεύεται· αὕτη γάρ ἐστιν ἡ ἡμέρα, καθ' ἥν ὁ Θεός ἀρχῆθεν τόν κόσμον ἐκ τοῦ μή ὄντως παρήγαγε. Κατ' αὐτήν τήν ἡμέραν καί τόν Ἰσραηλίτην λαόν, τῆς Ἐρυθρᾶς διαβιβάσας, ἐκ τῶν τοῦ Φαραώ ἀφαρπάζει χειρῶν. Ἐν ταύτῃ πάλιν ἐξ οὐρανοῦ καταβάς, τῇ μήτρᾳ τῆς Παρθένου ἐνῴκησε· καί νῦν τό ἀνθρώπινον σύμπαν, τῶν τοῦ Ἅδου ἁρπάσας πυθμένων, εἰς οὐρανούς ἀνεβίβασε, καί πρός τό ἀρχαῖον ἀξίωμα ἤγαγε τῆς ἀφθαρσίας. Πλήν, καταβάς εἰς Ἅδην, οὐ πάντας ἀνέστησεν, ἀλλ' ὅσοι πιστεῦσαι αὐτῷ ἠρετίσαντο· τάς δέ ψυχάς τῶν ἀπ' αἰῶνος Ἁγίων, βιαίως κρατουμένας παρά τοῦ Ἅδου, ἠλευθέρωσε, καί πᾶσι δέδωκε πρός οὐρανούς ἀνιέναι. Διά τοῦτο, γεγηθότες ὑπερφυῶς, μετά λαμπρότητος

τήν Ἀνάστασιν ἑορτάζομεν, τήν χαράν εἰκονίζοντες, ἣν ἡ φύσις ἡμῶν διά σπλάγχνα ἐλέους Θεοῦ ἐπλούτησεν. Ὡσαύτως δέ, καί τήν τῆς ἔχθρας κατάλυσιν, καί τήν μετά Θεοῦ καί αὐτῶν τῶν Ἀγγέλων ἕνωσιν, ἀποδεικνύντες, τόν συνήθη διαπραττόμεθα Ἀσπασμόν.

Ἡ δέ τοῦ Κυρίου Ἀνάστασις γέγονεν οὕτω· τῶν στρατιωτῶν φυλασσόντων τόν τάφον, περί μέσον νυκτός, σεισμός γίνεται· κατελθών γάρ Ἄγγελος, τόν λίθον τῆς τοῦ μνημείου θύρας ἀφίστησιν. Ἀναθεωροῦντες τοίνυν οἱ φύλακες, φεύγουσι, καί πάροδος ἐντεῦθεν ταῖς Γυναιξί γίνεται, περί τό τοῦ Σαββάτου ὀψέ, οἱονεί περί τό μέσον τῆς τοῦ Σαββάτου νυκτός. Καί πρῶτον μέν ἡ Ἀνάστασις τῇ τοῦ Θεοῦ Μητρί γνώριμος γίνεται, ἀπ' ἐναντίας καθημένῃ τοῦ τάφου, ὥς φησιν ὁ Ματθαῖος, σύν τῇ Μαγδαληνῇ. Ἀλλ' ἵνα μή ἡ Ἀνάστασις ἀμφιβάλλοιτο, διά τήν πρός τήν Μητέρα οἰκείωσιν, οἱ Εὐαγγελισταί φασί· Πρῶτον φαίνεται τῇ Μαγδαληνῇ Μαρίᾳ. Αὕτη καί τόν ἐν τῷ λίθῳ Ἄγγελον εἶδε καί παρακύψασα πάλιν, τούς ἔνδον ὁρᾷ· οἳ δή καί τήν τοῦ Κυρίου Ἀνάστασιν καταγγέλουσιν. Ἠγέρθη γάρ, φασίν· οὐκ ἔστιν ᾧδε, ἴδε ὁ τόπος, ὅπου ἔθηκαν αὐτόν. Τρέχει οὖν, ταῦτα ἀκούσασα, καί πρός τούς διαπύρους τῶν Μαθητῶν, Πέτρον καί Ἰωάννην, ἔρχεται, καί τήν Ἀνάστασιν τούτοις εὐαγγελίζεται. Ὑποστρεφούσης δέ ταύτης μετά τῆς ἄλλης Μαρίας, ὑπήντησεν αὐταῖς ὁ Χριστός, λέγων· «Χαίρετε»· ἔδει γάρ τό φῦλον, τό

πρῶτον ἀκοῦσαν· «Ἐν λύπαις τέξῃ τέκνα», αὐτό τοῦτο πρῶτον καί τήν χαράν ἐνωτίσασθαι. Αἱ δέ, τῷ πόθῳ νικώμεναι, προσέρχονται, καί τῶν ἀχράντων αὐτοῦ ποδῶν ἅπτονται, ἀκριβέστερον γνῶναι βουλόμεναι. Οἱ δέ Ἀπόστολοι πρός τόν τάφον γίνονται· καί ὁ μέν Πέτρος, παρακύψας μόνον περί τό μνημεῖον, ἀπῆλθεν· ὁ δέ Ἰωάννης, ἔνδον γίνεται καί περιεργότερον βλέπει, τῆς τε σινδόνος ἅπτεται καί τοῦ σουδαρίου.

Πάλιν δέ ἡ Μαγδαληνή περί ὄρθρον ἥκει μεθ' ἑτέρων γυναικῶν, τά ὁραθέντα πιστώσασθαι ἀκριβέστερον. Περί δέ ἔξω ἑστῶσα, ὠδύρετο· ἔνδον δέ τοῦ τάφου παρακύψασα, ὁρᾷ δύο Ἀγγέλους, ἀστράπτοντας τῇ λαμπρότητι, καί ὥσπερ ἐπιτιμῶντας αὐτῇ καί λέγοντας· «Γύναι, τί κλαίεις, τίνα ζητεῖς; Ἰησοῦν ζητεῖτε τόν Ναζαρηνόν, τόν ἐσταυρωμένον; ἠγέρθη, οὐκ ἔστιν ὧδε»· καί εὐθέως ἀνέστησαν ἔμφοβοι, ἰδόντες τόν Κύριον. Διό ἐκείνη, στραφεῖσα ὄπισθεν, βλέπει τόν Χριστόν ἑστῶτα· κηπουρόν δέ εἶναι αὐτόν οἰηθεῖσα, (ὅτι ἐν τῷ κήπῳ τό μνῆμα ἦν) λέγει· «Κύριε, εἰ σύ ἐβάστασας αὐτόν, εἰπέ μοι, ποῦ ἔθηκας αὐτόν, κἀγώ αὐτόν ἀρῶ». Αὖθις δέ πρός τούς Ἀγγέλους νευσάσης, ὁ Σωτήρ, «Μαρία», φησί πρός τήν Μαγδαληνήν. Ἡ δέ, τῆς γλυκείας καί συνήθους τοῦ Χριστοῦ αἰσθομένη φωνῆς, ἅψασθαι αὐτοῦ ἤθελεν· ὁ δέ λέγει· «Μή μου ἅπτου· οὔπω γάρ ἀναβέβηκα πρός τόν Πατέρα μου, καθώς αὐτή λογίζῃ, ἔτι ἄνθρωπόν με εἶναι ὑπολαμβά-

νουσα· πορεύου δέ πρός τούς ἀδελφούς μου, καί εἰπέ αὐτοῖς, ὅσα τε εἶδες καί ἤκουσας»· καί τοῦτο μέν ἡ Μαγδαληνή πράσσει. Ἐπιφωσκούσης δέ πάλιν ἡμέρας, περί τόν τάφον σύν ταῖς λοιπαῖς γίνεται. Αἱ δέ περί Ἰωάνναν καί Σαλώμην, ἀνατείλαντος τοῦ ἡλίου, ἦλθον· καί ἁπλῶς εἰπεῖν, ἐν διαφόρους ἡ περί τόν τάφον τῶν γυναικῶν ἔλευσις γέγονεν, ἐν αἷς ἦν καί ἡ Θεοτόκος· αὕτη γάρ ἐστιν, ἥν Ἰωσῆ λέγει Μαρίαν τό Εὐαγγέλιον· τοῦ Ἰωσήφ δέ ἦν ὁ υἱός οὗτος ὁ Ἰωσῆς. Ἐν ἀδήλῳ μέντοι ἐστίν, ὁποίᾳ ὥρᾳ ἀνέστη ὁ Κύριος· τινές μέν γάρ ἐν πρώτῃ ἀλεκτρυόντων ᾠδῇ λέγουσιν· ἄλλοι δέ ὅτε ὁ σεισμός γέγονε· καί διαφόρως ἕτεροι.

Τούτων δέ οὕτω γεγενημένων, ἰδού τινες τῶν ἀπό τῆς κουστωδίας, ἐλθόντες, ἀπήγγειλαν τοῖς Ἀρχιερεῦσι τά διαπεπραγμένα· οἱ δέ, ἀργυρίοις τούτους δεξιωσάμενοι, πείθουσιν ἀνειπεῖν, ὡς οἱ Μαθηταί αὐτοῦ, νυκτός ἐλθόντες, ἔκλεψαν αὐτόν. Κατά δέ τήν ἑσπέραν τῆς παρούσης ἡμέρας, τῶν Μαθητῶν εἰς ἕν ἠθροισμένων, διά τόν Ἰουδαϊκόν φόβον καί τῶν θυρῶν ἀσφαλῶς κεκλεισμένων, εἴσεσι πρός αὐτούς ὁ Χριστός· ὅτι ἐν ἀφθάρτῳ ἦν σώματι· καί τήν Εἰρήνην, τό σύνηθες, τούτοις εὐαγγελίζεται. Οἱ δέ, τοῦτον ἰδόντες, ὑπερβαλλόντως ἐχάρησαν· καί διά τοῦ ἐμφυσήματος, τελεώτερον τήν τοῦ Παναγίου Πνεύματος ἐνέργειαν δέχονται.

Πῶς δέ τριήμερος ἡ τοῦ Κυρίου Ἀνάστασις, γίνωσκε οὕτως· Ἡ ἑσπέρα τῆς Πέμπτης καί ἡ ἡμέρα τῆς Παρα-

σκευῆς (οὕτω γάρ τό νυχθήμερον οἱ Ἑβραῖοι μετροῦσιν), ἡμέρα μία. Τῆς Παρασκευῆς πάλιν ἡ νύξ καί τό Σάββατον ὅλον, ἕτερον νυχθήμερον· ἰδού ἡμέρα δευτέρα. Ἕτερον νυχθήμερον πάλιν ἡ τοῦ Σαββάτου νύξ καί ἡ τῆς Κυριακῆς ἡμέρα, (ἀπό μέρους γάρ τῆς ἀρχῆς τό ὅλον καταλαμβάνεται), ἄλλο νυχθήμερον· ἰδού καί ἡμέρα τρίτη. Ἤ καί οὕτω· Τρίτη ὥρα τῆς Παρασκευῆς ἐσταύρωται ὁ Χριστός· εἶτα, ἀπό ἕκτης ἕως ἐνάτης, σκότος ἐγένετο· τοῦτο νύκτα νόησον· ἰδού ἀπό τρίτης ἕως ἐνάτης ἕν νυχθήμερον. Εἶτα πάλιν μετά τό σκότος ἡμέρα, καί ἡ νύξ τῆς Παρασκευῆς· ἰδού δύο νυχθήμερα. Ἡ ἡμέρα τοῦ Σαββάτου καί ἡ νύξ αὐτοῦ πάλιν, ἰδού τρία νυχθήμερα. Εἰ δέ εἰς τήν τρίτην ἐπαγγειλάμενος εὐεργετῆσαι ἡμᾶς ὁ Σωτήρ, συντομώτερον διεπράξατο τήν εὐεργεσίαν.

Αὐτῷ ἡ δόξα καί τό κράτος εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Β΄


Τῇ Ἁγίᾳ καί μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, αὐτήν ἑορτάζομεν τήν ζωηφόρον καί φωτοφόρον Ἀνάστασιν, τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τήν ὁποίαν καί Πάσχα, ἀπό τήν Ἑβραϊκήν γλῶσσαν ὀνομάζομεν· τό ὁποῖον εἰς τήν ἐδικήν μας διάλεκτον, εἴτε γλῶσσαν, θέλει νά εἰπῇ διάβασις. Ὅτι ὅταν ὁ Θεός

ἀπεφάσισε νά ἐλευθερώσῃ τό Ἑβραϊκόν γένος ἀπό τήν δουλείαν τῆς Αἰγύπτου, ἀφ' οὗ μέ πολλάς πληγάς ἐβίασε τόν Φαραώ νά τούς ἀπολύσῃ νά φύγουν, εἰς τήν ὁλοϋστερινήν πληγήν, ὁποῦ ἦτον ὁ θάνατος ὅλων τῶν πρωτοτόκων, προγινώσκων ὁ Θεός, πώς τότε ἐξ ἀνάγκης ἔμελλε νά τούς δώσῃ τήν ἄδειαν, ἐπρόσταξε τόν Μωϋσῆν, νά εἰπῇ εἰς ὅλον τόν λαόν τῶν Ἑβραίων, ἐκείνην τήν ἑσπέραν νά σφάξῃ κάθε σπίτι ἕνα κριόν χρονιάρικον, καί νά τόν κάμουν ὀπτόν ὁλόκληρον καί τήν νύκτα ὅλην ἐκείνην νά φάγουν ὅλον, ὀρθοί, μέ ἄζυμα, μέ ὑποδήματα εἰς τούς πόδας, καί σπουδαστικά· διότι λέγει αὐτό εἶναι Πάσχα, ἤγουν διάβασις. Ὅτι τό πρωΐ ξημερώνων ἔμελλον νά διαβοῦν τήν Ἐρυθράν Θάλασσαν διά ξηρᾶς, καί νά περάσουν εἰς τήν ἀντικρύ ἔρημον, καί οὕτω νά γλυτώσουν παντελῶς ἀπό τήν τυραννίαν τῶν Αἰγυπτίων. Καί λοιπόν καθώς ἐκεῖνος τότε ὁ ἀμνός ὠνομάσθη Πάσχα, ὅτι ἐφανέρωνε τήν διάβασιν τῆς Ἐρυθρᾶς Θαλάσσης, οὕτω καί ἐδῶ ὁ ἀμνός τοῦ Θεοῦ καί Πατρός,
246
ἔγινεν εἰς ἡμᾶς νοητόν καί ἀληθινόν Πάσχα διότι μᾶς διεβίβασε, καί ἡμᾶς ἐπέρασεν ἀπό τήν ἁμαρτίαν, εἰς τήν οὐράνιον ἀφθαρσίαν, ἐλευθερώνων ἡμᾶς ἀπό τήν τυραννίαν τοῦ νοητοῦ Φαραώ τοῦ σατανᾶ. Ὅμως, πρέπει νά ἠξεύρωμεν, ὅτι κατά τούς θείους Πατέρας, καταβάς εἰς τόν ᾅδην, δέν τούς ἀνέστησεν ὅλους, ἀλλ' ὅσοι ἐπίστευσαν εἰς αὐτόν· ἐπίστευσαν δέ, ὅσοι ἠξιώθησαν νά ἰδοῦν ἀκτῖνα τῆς Θεότητος αὐτοῦ· ἠξιώθησαν δέ, ὅσοι, κατά

τό δυνατόν, βίον εἶχον καθαρόν. Ἀλλά τάς ψυχάς τῶν ἀπ᾽ αἰῶνος Ἁγίων, τάς ὁποίας ὁ ᾍδης βιαίως ἐκράτει, τάς ἠλευθέρωσε, καί εἰς ὅλους ἐχάρισε τήν εἰς οὐρανούς ἀνάβασιν. Διά τοῦτο μετά χαρᾶς ἀφάτου, καί μετά πάσης τῆς λαμπρότητος τήν Ἁγίαν ἑορτάζομεν Ἀνάστασιν, τήν ἀφθαρσίαν εἰκονίζοντες, τήν ὁποίαν ἡ φύσις ἡμῶν, διά σπλάγχνα Θεοῦ ἡμῶν, ἐπλούτησε. Κάνομεν δέ καί τόν συνήθη ἀσπασμόν ἐν αὐτῇ τῇ ἡμέρᾳ, δείχνοντες μέ τοῦτο τήν κατάλυσιν τῆς παλαιᾶς ἔχθρας, καί τήν ἕνωσιν μετά τοῦ Θεοῦ καί τῶν Ἀγγέλων. Ἡ δέ τοῦ Κυρίου Ἀνάστασις τοιουτοτρόπως ἔγινε. Κατά τό μέσον τῆς νυκτός, σεισμός ἔγινε μέγας, ὅτι ὁ Ἄγγελος Κυρίου, καταβάς ἀπεκύλισε τόν λίθον ἀπό τῆς θήρας τοῦ μνημείου· ἀπό τόν ὁποῖον σεισμόν, οἱ στρατιῶται ὁποῦ ἐφύλαττον τόν τάφον, κατατρομάξαντες ἔφυγον μέ σπουδήν πολλήν· καί οὕτως εὗρησαν καιρόν, αἱ γυναῖκες ὁποῦ ἤρχοντο μέ τά μύρα, διά νά ἀλείψωσι τό Σῶμα τοῦ Ἰησοῦ· καί πρώτη μέν ὁποῦ εἶδεν ἀναστάντα τόν Χριστόν, ἐστάθη ἡ Κυρία Θεοτόκος ἡ μήτηρ τοῦ Ἰησοῦ, ὁμοῦ μέ τήν Μαρίαν τήν Μαγδαληνήν. Ἀλλά διά νά μήν ἀμφιβάλληται ἡ Ἀνάστασις, ἀπό τῆς Μητρός οἰκείωσιν, διά τοῦτο οἱ θεῖοι Εὐαγγελισταί λέγουσι, συνεσκιασμένως, ὅτι ἦλθε Μαρία ἡ Μαγδαληνή, καί ἡ ἄλλη Μαρία· καί νοεῖται ἡ Μήτηρ τοῦ Ἰησοῦ· καί ἄλλος Εὐαγγελιστής λέγει, ἐφάνη πρῶτον Μαρία τῇ Μαγδαληνῇ, ὁποῦ ἦτον δηλαδή ἀνύποπτον πρόσωπον· αἱ ὁποῖαι ἰδοῦσαι τόν

Χριστόν, καί προσκυνήσασαι αὐτόν, καί τούς πόδας αὐτοῦ κρατήσασαι, ἔδραμεν μετά χαρᾶς, καί ἀπήγγειλαν εἰς τούς Μαθητάς, ὅτι ὁ διδάσκαλος ὄντως ἀνέστη, καί αὐταί εἶδον καί προσεκύνησαν αὐτόν. Καί ἀπό τό γλυκύτατον αὐτοῦ στόμα, ἤκουσαν χαίρετε· καί ἔπρεπε βέβαια, τό γένος ἐκεῖνο, ὁποῦ πρῶτον ἤκουσεν, ἐν λύπαις τέξει τέκνα, αὐτό πρῶτον, νά δεχθῇ καί τήν χαράν. Καί ἡ μέν Κυρία Θεοτόκος, ὡς κατ' ἐξοχήν γνωστική, ἀφ' οὗ ἅπαξ εἶδε, καί τήν χαράν ἐδέχθη, ἐδόξασε τόν Θεόν, καί εἰς τό ἑξῆς δέν ἠθέλησε νά μεταδοκιμάσῃ, ἀλλ' ἔμεινεν ἡσυχάζουσα. Ἡ δέ Μαγδαληνή καί ἐκ δευτέρου ἐπῆγεν εἰς τό μνημεῖον, καί ἐκ δευτέρου εἶδε τόν Χριστόν, καί ἐκ δευτέρου ἠθέλησε νά πιάσῃ τούς ἀχράντους αὐτοῦ πόδας, ὅμως ἐμποδίσθη διά τήν ματαίαν της περιέργειαν, μή μοῦ ἅπτου, παρ' αὐτοῦ ἀκούσασα. Καί ὡς Ἀπόστολος εἰς τούς Ἀποστόλους παρ' αὐτοῦ πέμπεται, εἰπόντος, πορεύου δέ πρός τούς ἀδελφούς μου, καί εἰπέ αὐτοῖς, ὅσα εἶδες καί ὅσα ἤκουσας. Εἰς ποίαν δέ ὥραν ἀνέστη ὁ Κύριος, οὐδείς οἶδε σαφῶς· κάποιοι εἶπον, ὅτι εἰς τό πρῶτον λάλημα τῶν πετεινῶν· ἄλλοι, ὅταν ἔγινεν ὁ σεισμός, καί ἄλλοι ἄλλον καιρόν. Ἀνέστη δέ, καθώς καί ἐγεννήθη, ἤγουν χωρίς νά χαλάσουν παντελῶς αἱ σφραγῖδες τοῦ τάφου, καθώς καί τῶν θυρῶν κεκλεισμένων εἰσῆλθεν εἰς τούς Μαθητάς ὕστερον. Τούτων οὕτω γενομένων, ἰδού ἔφθασαν τινές, ἀπό τούς φυλάσσοντας τόν τάφον, καταφοβισμένοι,

καί ἀναγγέλλουσι τά συμβάντα εἰς τούς Ἀρχιερεῖς· οἱ ὁποῖοι ταῦτα ἀκούσαντες, καί τί ἄλλο νά πράξωσι μήν ἠξεύροντες, μήτε δυνάμενοι, κατέφυγον εἰς τό ψεῦδος, καί τήν ἀσύστατον συκοφαντίαν· ἐπειδή μέ ἀργύρια ἱκανά, κατέπεισαν τούς στρατιῶτας νά κηρύξουν, ὅτι αὐτῶν ἀποκοιμηθέντων, ἐπῆγαν οἱ μαθηταί αὐτοῦ καί τόν ἔκλεψαν. Ὅτι δέ πλάσμα καί συκοφαντία ἐστάθη ὁ λόγος οὗτος, εἶναι ὁλοφάνερον, ὅτι οἱ μαθηταί ἦσαν κατακεκλεισμένοι, ἀπό τόν φόβον τῶν Ἰουδαίων, καί πώς ἤθελον ἀποκοτίσουν νά κάμουν τοιοῦτον ἔργον, ὁποῦ μάλιστα ἤξευραν, ὅτι καί στρατιῶται, διά τοῦτο καί μόνον διωρίσθησαν νά φυλλάττουν· καί ἔπειτα, ἄς δώσωμεν, πῶς ἐτόλμησαν νά ῥιψοκινδυνεύσουν, πώς ἐκεῖνοι ὁποῦ ἐπήγαιναν μέ ἄκρον φόβον, ἤθελον καθίσει νά ξεκολλήσουν τό σινδῶνι ἀπό τό σῶμα, καί νά πάρουν γυμνόν τό σῶμα καί νά φύγουν, εἰς καιρόν ὁποῦ ἠδύναντο νά πάρουν ὁμοῦ καί νά φεύγουν τό ὀγλιγορώτερον, διά νά μήν τούς καταλάβουν, χρονοτριβοῦντας; οὕτως ἡ κακία εἶναι πρᾶγμα ἀσυλλόγιστον. Κατά πολλούς δέ τρόπους οἱ διδάσκαλοι δοκιμάζουσι, νά εὕρωσι σωστά τριήμερον τήν Ἀνάστασιν τοῦ Σωτῆρος· ὅμως φαίνεται, ὅτι συντομώτερον ἀπό τήν τριήμερον ὑπόσχεσιν ὁ Κύριος ἔκαμε τήν εὐεργεσίαν εἰς ἡμᾶς· καί διά τοῦτο πρέπει ἀπό ψυχῆς νά τοῦ προσφέρωμεν τήν εὐχαριστίαν, καί τήν δόξαν, σύν τῷ Πατρί καί τῷ Ἁγίῳ Πνεύματι, εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.


ΜΡ ΘΥ
ΗΣΩΣ ΧΟΣΠΥΠ
ΧΑΡΗΤΟΥΔΟΥΛΟΥΤΗΣΘΕΟΛΗΠΤΟΥ
ΧΑΡΗΤΟΥΔΟΥΛΟΥΜΗΝΤΟΥΣΩΝΕΤΩΝ
ΚΑΙΡ
ΧΡΙΣΤΟΣ ΓΕΝΝΑΤΑΙ

ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ ΕΒΔΟΜΑΔΟΣ (ΤΗΣ ΖΩΟΔΟΧΟΥ ΠΗΓΗΣ)

Τῇ Παρασκευῇ τῆς Διακαινησίμου, ἑορτάζομεν τά ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν καί Θεομήτορος, τῆς Ζωηφόρου Πηγῆς· ἔτι δέ καί μνείαν ποιούμεθα τῶν ἐν τούτῳ τελεσθέντων ὑπερφυῶν θαυμάτων παρά τῆς Θεομήτορος.

Α΄

Ὁ μέν ναός οὗτος, τό καταρχάς συνέστη παρά τοῦ βασιλέως Λέοντος τοῦ μεγάλου, ὅς καί Μακέλλης ὠνόμαστο. Χρηστός γάρ ὢν ὁ ἀνήρ καί ἐπιεικέστατος, διά γνώμης συμπάθειαν, πρίν ἤ τόν βασίλειον ἀναβῆναι θρόνον, εἰς ἰδιώτας ἔτι ταττόμενος, ἐκεῖσέ πῃ περ ὤν, ἄνδρα τινά πηρόν, τάς ὄψεις εὐρών παραπαίοντα, ἔχειραγώγει. Καί δή πλησίον τοῦ τόπου γενομένων, δίψει ἀπείρῳ συνέχεται ὁ πηρός, καί ἱκέτης τῷ Λέοντι γίνεται, ὕδατι ἀναψῦξαι αὐτόν. Καί ὅς, τό ἐκεῖσε συνηρεφές εἰσιών, ἀνεζήτει· ἦν γάρ τότε ὁ τόπος οὗτος δένδροις παντοίοις κατάφυτος, καί εὐθαλεῖ τῇ πόᾳ κομῶν. Ἐπεί οὖν τό ὕδωρ ἐκεῖ οὐχ εὕρισκε, σκυθρωπάζων ἀνέστρεφε· καί ὑποστρέφων, φωνῆς ἄνωθεν ἐν μεθέξει

γίνεται· «Οὐ χρεών σε –λεγούσης– Λέον ἀγωνιᾶν· τό γάρ ὕδωρ ἐγγύς». Ὑποστραφείς οὖν, πάλιν ἐζήτει· καί πολλά αὖθις καμών, πάλιν τῆς ἴσης φωνῆς ἐν μεθέξει γίνεται· φησί γάρ· «Λέον Βασιλεῦ, εἰσιών τό ἐνδότερον συνηρεφές τοῦτο, καί τοῦ θολεροῦ ὕδατος μετά χεῖρας λαβών, θεράπευσον τῷ πηρῷ τήν δίψαν· καί τάς πεπηρωμένας ἐπιχρίσας ὄψεις ἐκείνου, γνώσῃ αὐτίκα ἥτις εἰμί, ἐκ πολλοῦ τόνδε κατοικοῦσα τόν χῶρον». Πράσσει οὖν ὡς ἡ φωνή διεσάφησε, καί παραυτίκα βλέπων ἦν ὁ πηρός. Κατά δέ τήν τῆς Θεομήτορος πρόρρησιν, τοῦ Λέοντος βασιλεύσαντος, ὁ ἐπί τῆς Πηγῆς ναός ἀνεγείρεται φιλοτίμῳ χειρί, ὁποῖος ὁρᾶται τήν σήμερον.

Θαυμάτων δέ πλείστων ἐν τούτῳ ἐπιρρεόντων, ἐπεί μετά χρόνον καί Ἰουστινιανός, ὁ Ρωμαίων μέγιστος Αὐτοκράτωρ, τῇ δυσουρίᾳ πιεζόμενος, ἐντεῦθεν ἔσχε τήν ἰατρείαν, ἀντιφιλοτιμούμενος τῇ τοῦ Λόγου Μητρί, τόν μέγιστον ἀνεγείρει ναόν· ὅν ὑπό σεισμῶν διαφόρων διαρραγέντα, ἐς ὕστερον Βασίλειος ὁ Μακεδών περι-
252 εποιήσατο, καί ὁ υἱός αὐτοῦ Λέων ὁ Σοφός, ἐφ' ᾧν καί πλεῖστα ἡ Πηγή ἐνήργησε θαύματα· ἀποστήματα γάρ, καί δυσουρίας, καί ἐκτικά, καί ἄλλα μυρία τεθεράπευκε καρκίνων πάθη· καί αἱμορροίας διαφόρους Βασιλίδων, καί ἄλλων γυναίων, καί πυρετῶν διαφόρων ἐσμόν, τριταϊκῶν τε καί ἄλλων ἐμπύων. Καί στειρώσεις διέλυσε· δώρημα γάρ τῆς Πηγῆς ταύτης ὁ Βασιλεύς Κωνσταντῖνος ὁ Πορφυρογέννητος, τῇ Βασιλίδι

Ζωῇ γεννηθείς. Ἀνήγειρε δέ καί νεκρόν ἡ Πηγή· ἦν δέ ἐκεῖνος ἐκ Θεσσαλίας· κατερχόμενος γάρ πρός αὐτήν, τελευτᾷ καθ' ὁδόν· θνήσκων δέ καί πνέων τά λοίσθια, ἐπισκήπτει τοῖς ναύταις, ἐκεῖσέ πῃ πρός τόν ναόν τῆς Πηγῆς ἀγαγόντας, καί κάδους τρεῖς αὐτῷ τοῦ ἐκεῖθεν πηγάζοντος ὕδατος ἐπιχέοντας, θάψαι. Γίνεται τοῦτο· καί ὁ νεκρός, τοῦ ὕδατος ἐπιχυθέντος, διανίσταται.

Μετά δέ χρόνους, τόν μέγαν ναόν πεσεῖν μέλλοντα, φανεῖσα ἡ Θεοτόκος, ὑπανεῖχεν, ἕως οὗ τό περιρρεῦσαν πλῆθος ἐκφορηθείη. Δαίμονας διαφόρους, τό ὕδωρ τοῦτο ποθέν, ἀπήλασε· καί ἐν φυλακῇ δεσμίους ἀπέλυσε. Τῷ Βασιλεῖ Λέοντι τῷ Σοφῷ, λιθίασιν ἐξιᾶται· καί τῇ γυναικί Θεοφανοῖ λαβρότατον πυρετόν σβέννυται· τόν δέ ἀδελφόν, Στέφανον τόν Πατριάρχην, τῆς ἐκτικῆς διαθέσεως ἀπολύει· καί Ἰωάννῃ τῷ Ἱεροσολύμων Πατριάρχῃ, τήν ἀκοήν ἐκτραπεῖσαν ἰᾶται. Θεραπεύει πυρετόν σφοδρότατον καί τοῦ Πατρικίου Ταρασίου, καί τῆς αὐτοῦ μητρός Μαγιστρίσσης· καί τόν υἱόν Στυλιανοῦ δυσουριῶντα ἰᾶται. Σχίζιναν δέ τινα γυναῖκα, τῆς δυσεντερίας λυτροῦται. Ὁ δέ Βασιλεύς Ρωμανός, ὁ ἐκ Λακάπης, καί λύσιν καί δέσιν γαστρός τῷ ὕδατι θεραπεύει· ὡσαύτως καί ἡ αὐτοῦ γυνή. Ἐν Χαλδίᾳ τόν Μοναχόν Πέπεριν, καί τόν αὐτοῦ Μαθητήν, θεραπεύει ἡ Θεομήτωρ δι' ἐπικλήσεως· ὡσαύτως καί τόν Μοναχόν Ματθαῖον, καί Μελέτιον, πρός τόν Βασιλέα διαβληθέντας. Πατρικίους δέ καί Πρωτοσπαθαρίους, καί ἄλλους μυρίους, τίς ἄν

διηγήσαιτο; Λαγχάνει καί τῆς ἐπί τό ἰσχίον θεραπείας, καί ὁ ἐπί τοῦ θυμιάματος Στέφανος.

Καί ποῖα γλῶσσα, ὅσα τό ὕδωρ τοῦτο ἐνήργησε, καί εἰς δεῦρο διενεργεῖ, διηγήσαιτο; ὑπέρ σταγόνας ὑετοῦ, καί ἄστρων, καί φύλλων πλῆθος τά θαύματα, ἅ δή καί ἡμεῖς ἐν τοῖς καθ' ἡμᾶς χρόνοις κατείδομεν· φαγέδαιναν γάρ, καί γάγγραιναν, καί διατρήσεις, καί θανάσιμα φύματα ἕτερα, καί ἄνθρακας, καί λέπραν, καί λώβην ὑπερφυῶς ἐθεράπευσε· καί ἄλλας ὀγκώσεις γυναικῶν, καί ψυχῆς πάθη τό πλέον ἰάσατο· καί ὀφθαλμῶν ἐπιχύσεις τε, καί λευκώματα καί ὑέλωπας· ἔτι δέ καί νόσημα ὕδροπος τῷ Βαράγγῳ Ἰωάννῃ· καί τῷ ἑτέρῳ Βαράγγῳ πονηρά ἐθεράπευσεν ἕλκη· καί τῷ Ἱερομονάχῳ Μάρκῳ, ἐξανθοῦσαν τῆς ἐπιφανείας δριμύτητα· καί τήν ἐπί πεντεκαίδεκα ἔτεσι δύσπνοιαν ὑπερβάλλουσαν, ἐνταυτῷ καί λιθίασιν τοῦ μοναχοῦ Μακαρίου· καί ἄλλα πλεῖστα, ἅπερ ἀριθμῆσαι λόγῳ ἀδύνατον· ἅ δή καί ἐνήργησε καί ἐνεργεῖ, καί οὔποτε παύεται.

Β΄


Τῇ Παρασκευῇ τῆς Διακαινησίμου ἑβδομάδος, ἑορτάζομεν τά ἐγκαίνια τοῦ ναοῦ τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν, τῆς ζωηφόρου Πηγῆς, καί προσέτι κάνομεν μνήμην

ἤτοι ἐνθύμησιν, τῶν ὑπερφυσικῶν θαυμάτων τῆς Θεομήτορος, τά ὁποῖα ἐν αὐτῷ ἐτέλεσεν. Οὗτος ὁ Ναός κατά πρῶτον ἐκτίσθη ὑπό τοῦ Βασιλέως Λέοντος τοῦ Μεγάλου, ὁ ὁποῖος καί Μακέλλης ὠνομάζετο. Ὅτι ὤν ἄνθρωπος καλοπροαίρετος καί συμπαθητικός τήν γνώμην, πρό τοῦ νά βασιλεύσῃ, ὤν ἀκόμη ἰδιώτης, κατ' ἐκεῖνον τόν τόπον εὑρών ἕνα τυφλόν, ὅπου ἐφέρετο ἄνω καί κάτω πλανώμενος, ἤρχισε νά τόν χειραγωγῇ· ὁ ὁποῖος τυφλός ἐκυριεύθη ἀπό δίψαν ὑπερβολικήν, καί παρεκάλει τόν χειραγωγόν του, ἤτοι τόν Λέοντα θερμῶς, νά τοῦ εὕρῃ νερόν νά καταψύξῃ τήν γλῶσσάν του· καί ὁ καλός Λέων σπλαγχνίζεται, καί ἐμβαίνει εἰς τό δάσος, ὁποῦ τότε εἶχεν ὁ τόπος, καί ἐζήτει μέ πολλήν ἐπιμέλειαν, μήπως εὕρῃ νερόν· καί ἐπειδή νά εὕρῃ ἐκεῖ τό ποθούμενον ὕδωρ δέν ἐδύνατο, ἐγύριζε λυπημένος. Καί ἐκεῖ ἀκούει φωνήν ἄνωθεν, ὁποῦ τόν εἶπε, δέν εἶναι χρεία, ὦ Λέων, νά σκυθρωπάζῃς καί νά θλίβησαι· ὅτι κοντά σου εἶναι τό νερόν, τῷ ἔλεγε· καί πάλιν, πολλά κοπιάσας, καί μή εὑρίσκων τό ὕδωρ πάλιν ἐλυπεῖτο, καί πάλιν τήν ἰδίαν ἀκούει φωνήν, ὁποῦ τῷ ἔλεγε· Λέων Βασιλεῦ, παραμέσα εἰς τό πυκνόν τοῦ δάσους ἐμβαίνων, εὑρήσεις ὕδωρ θολερόν, ἀπό αὐτό λάβε, καί θεράπευσον τήν δίψαν τοῦ τυφλοῦ, καί ἀκόμη χρίσον μέ αὐτό καί τούς τυφλούς του ὀφθαλμούς, καί παρευθύς θέλεις καταλάβει, ποία εἶμαι, ἐγώ ὁποῦ πρό πολλοῦ κατοικῶ εἰς τόν τόπον τοῦτον. Ἔκαμεν ὁ Λέων, καθώς ἡ φωνή τόν ἐπρόσταξε, καί παρευθύς ὁ τυφλός ἔλαβε τό φῶς τῶν ὀφθαλμῶν. Ὁ Λέων

λοιπόν, ἀφ' οὗ κατά τήν πρόῤῥησιν τῆς Θεομήτορος ἐβασίλευσεν, ἀνήγειρε μέ δαπάνην Βασιλικήν, τόν ἐπί τῆς πηγῆς Ναόν, καθώς τήν σήμερον φαίνεται, εἰς τόν ὁποῖον καθ' ἑκάστην ἐγίνοντο θαύματα πάμπολλα. Μετά δέ ταῦτα Ἰουστινιανός ὁ μέγας Αὐτοκράτωρ, ἀπό δυσουρίαν βασανιζόμενος, ἐπειδή ἐδῶ ἔλαβε τήν θεραπείαν, εἰς τόπον εὐχαριστίας, πρός τήν τοῦ Λόγου Μητέρα, τόν μεγαλώτατον ἀνήγειρε Ναόν, τόν ὁποῖον, ἐπειδή ὑπό σεισμῶν διαφόρων διερῤῥάγη, Βασίλειος ὁ Μακεδών τελευταῖον, καλῶς, ἐπεμελήθη, καί ὁ υἱός αὐτοῦ Λέων ὁ Σοφός· εἰς τῶν ὁποίων τάς ἡμέρας, πάμπολλα ἐνήργησεν ἡ πηγή θαύματα, κοντά δέ εἰς τά ἄλλα, τά ὁποῖα διά τό πλῆθος παρατρέχομεν, καί στειρώσεις διέλυσε· καί δώρημα τῆς πηγῆς ταύτης ὁ Βασιλεύς Κωνσταντῖνος ὁ Πορφυρογέννητος, τῇ βασιλίδι ζωῇ γεννηθείς. Ἀνέστησε δέ καί νεκρόν ἡ πηγή· ἦτον δέ ἐκεῖνος ἀπό τήν Θετταλίαν, καί ἐρχόμενος πρός αὐτήν, εἰς τόν δρόμον ἐτελεύτησεν· ἐν ᾧ δέ ἀπέθνησκε, καί τά λοίσθια ἔπνεεν, ἐπαρήγγειλεν εἰς τούς ναύτας, νά τόν ὑπάγουν ἐκεῖ πλησίον εἰς τόν Ναόν τῆς πηγῆς, καί νά χύσουν ἐπάνω του τρεῖς κάδους νερόν, ἀπό ἐκεῖνο τό ὕδωρ τῆς πηγῆς, καί οὕτω νά τόν θάψουν. Ἔγινε τοῦτο, καθώς ἐκεῖνος ἐπαρήγγειλε, καί ὁ νεκρός, (ὦ τῶν ὑπερφυῶν σου θαυμασίων Παρθένε!) εὐθύς ὁποῦ ἐχύθη τό ὕδωρ ἐπάνω του, ἀνέζησε. Μετά ταῦτα, εἰς καιρόν ὁποῦ ὁ μέγας Ναός ἔμελλε νά πέσῃ, ἡ Θεοτόκος ὀφθαλμοφανῶς ἐφάνη, ὁποῦ τόν ἐβάστα, ἕως ὁποῦ τό πλῆθος ὁποῦ ἦτον μέσα, ἐξῆλ-

θον ὅλον. Τό ὕδωρ τοῦτο, καί δαίμονας ἀπήλασε πινόμενον, καί ἀπό τήν φυλακήν δεσμίους ἀπέλυσε, καί τῷ Βασιλεῖ Λέοντι τῷ Σοφῷ τήν λιθίασιν ἰάτρευσε, καί τῆς γυναικός του Θεοφανώ, λαβρότατον πυρετόν ἔσβεσε· καί τόν Πατριάρχην Στέφανον τόν ἀδελφόν των, ἀπό ἐκτικόν πάθος τόν ἐλευθέρωσεν· ὁ δέ Βασιλεύς ὁ Ῥωμανός καί λύσιν καί δέσιν ἔλαβε γαστρός. Καί ποία γλῶσσα δύναται νά διηγηθῇ, ὅσα τό ὕδωρ τοῦτο ἐνήργησε κατά διαφόρους καιρούς, καί μέχρι τῆς σήμερον διενεργεῖ; φαγαίδεναν γάρ, καί γάγγραιναν, καί θανάσιμα φύματα, καί ἄνθρακας, καί λέπραν, καί λώβην ὑπερφυῶς ἐθεράπευσε, καί ὀγκώσεις γυναικῶν, καί ὀφθαλμῶν ἐπιχύσεις τε καί λευκώματα, καί ὑέλωπας. Ἀλλά τί βιάζομαι νά ἀριθμήσω τά ἀναρίθμητα, ὑπέρ σταγόνας ὑετοῦ τά τελούμενα, ἔτι καί σήμερον;

Ταῖς τῆς σῆς Μητρός πρεσβείαις Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.





ΚΥΡΙΑΚΗ ΤΟΥ ΑΝΤΙΠΑΣΧΑ (ΤΟΥ ΘΩΜΑ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ δευτέρᾳ ἀπό τοῦ Πάσχα, τά ἐγκαίνια ἑορτάζομεν τῆς Χριστοῦ Ἀναστάσεως, καί τήν τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ ψηλάφησιν.

Α΄

Τά μέν οὖν ἐγκαίνια, ἔθιμον ἦν ἀρχαῖον γίνεσθαι, εἴς τι τῶν ἐπισήμων· τοῦ γάρ χρόνου ἀνακυκλοῦντος καί τήν αὐτήν ἡμέραν, καθ' ἥν τότε διεπράχθη, ἐπάγοντος, τοῦ πράγματος ἐκείνου μνείαν ἐποιοῦντο ἐτήσιον, ἵνα μή εἰς λήθην τά μεγάλα τῶν ἔργων γένοιντο. Ἐντεῦθεν Ἑβραῖοι πρῶτον τό Πάσχα ἐν Γαλγάλοις ἐποίησαν, τήν τῆς Ἐρυθρᾶς διάβασιν ἐγκαινίζοντες· ἐντεῦθεν ἡ Σκηνή τοῦ μαρτυρίου αὐτοῖς ἐγκαινίζεται καί πολυτελῶς· ἐντεῦθεν ἡ Βασιλεία Δαυΐδ καί τἄλλα, ἵνα μή καθ' ἕκαστον λέγω. Ἐπεί οὖν πάντων τῶν ἐν βίῳ πραγμάτων διαφερόντως μέγιστον, καί ὑπέρ ἅπασαν ἔννοιαν, ἡ τοῦ Κυρίου Ἀνάστασις, ἔργον, οὐ μόνον κατ' ἔτος αὐτήν ἑορτάζομεν καί ἐγκαινίζομεν, ἀλλ' ἀεί καί ἐπί μεθ' ἡμέρας ὀκτώ. Πρῶτος τοίνυν ταύτης ἐγκαινισμός, ἡ παροῦσα Κυριακή, ἥτις λέγοιτ' ἄν κυρίως, καί ὀγδόη, καί πρώτη· ὀγδόη μέν, ὡς ἀπό

τοῦ Πάσχα· πρώτη δέ, ὡς ἀρχή τῶν ἄλλων. Καί ὀγδόη πάλιν, ὅτι εἰς εἰκόνα τάττεται τῆς ἀπεράντου ἐκείνης ἡμέρας, τῆς ἐν τῷ μέλλοντι αἰῶνι, ἥτις καί πρώτη καί μία ἔσται πάντως, μή νυκτί διακοπτομένη. Ταῦτα μέν περί ἐγκαινίων.

Τά δέ κατά τόν Θωμᾶν, οὕτω γέγονε. Τοῦ Χριστοῦ, καθ' ἥν ἡμέραν ἀνέστη, ὀψίας τοῖς Μαθηταῖς ἐμφανισθέντος, ἀπεδήμει Θωμᾶς, οὔπω μετά τῶν λοιπῶν συναχθείς, τῷ τῶν Ἰουδαίων φόβῳ. Ἐπεί δέ μετ' ὀλίγον ἐπανελθών καί μαθών τήν τοῦ Χριστοῦ παρουσίαν οὐ διηπίστει τοῖς Μαθηταῖς, ὅτι αὐτόν ἀναστάντα εἶδον, ἀλλ' ὅτι οὐδ' ὅλως ἀνέστη Χριστός καί ταῦτα εἷς τυγχάνων τῶν δώδεκα. Ὁ δέ εὐμήχανος Θεός καί τοῦ ἑνός μέν οὕτω κηδόμενος, ἅμα δέ καί οἰκονομίᾳ τινί μείζονι, ἵνα καί μᾶλλον ἡ Ἀνάστασις τοῖς εἰσέπειτα πιστωθείη, διαλιπών ἡμέρας ὀκτώ, ἵνα τόν ἐκείνου πόθον ἄκρως διερεθίσῃ καί μᾶλλον ἀπιστήσας, πᾶσι πίστιν ἀκριβεστέραν παράσχῃ τῆς Ἀναστάσεως, πάλιν ἔρχεται· καί
260 τῶν θυρῶν κεκλεισμένων, ὡς πρότερον, παρόντος δέ καί τοῦ Θωμᾶ, εἴσεισι· καί τήν εἰρήνην, τό σύνηθες, ἀσπασάμενος, μετέπειτα πρός τόν Θωμᾶν ἀποτείνεται, καί φησί· «φέρε τόν δάκτυλόν σου ὧδε καί ἴδε τάς χεῖράς μου· καί φέρε τήν χεῖρά σου καί βάλε εἰς τήν πλευράν μου καί μή γίνου ἄπιστος, ἀλλά πιστός. Ἐπειδή γάρ, οὐ μόνον διά θεωρίας πιστωθῆναι εἶχες, διά τήν φαντασίαν, ἀλλά, παχύς ὢν καί ἁφῆς ἐμνήσθης (ἔδειξε δέ

διά τούτων, ὅτι ἡνίκα ἐκεῖνος ταῦτα ἔλεγε πρός τούς Μαθητάς, παρῆν ἀκούων)· βάλε τήν χεῖρά σου εἰς τήν πλευράν μου»· δηλοῖ δέ, ὅτι καί εὐρεῖα ἦν ἡ κατά τῆς πλευρᾶς πληγή, ὡς καί χεῖρα εἴσω χωρεῖν. Ὁ δέ Θωμᾶς, ἀκριβῶς διερευνησάμενος καί τήν πίστιν λαβών δι' ἀφῆς, (συνεχωρεῖτο γάρ ταῦθ' ὁρᾶν, καί ποιεῖν ἐκεῖνα, κἄν ἐν ἀφθάρτῳ καί τεθεωμένῳ ἄκρως τῷ σώματι, δι' ἀσφάλειαν) ἔκραξεν· «Ὁ Κύριός μου, καί ὁ Θεός μου»· τό μέν, διά τήν σάρκα· τό δέ, διά τήν Θεότητα. Καί ὁ Χριστός πρός αὐτόν λέγει· «Ὅτι ἰδών με ἐπίστευσας, μακάριοι οἱ μή ἰδόντες καί πιστεύσαντες».

Δίδυμος δέ λέγεται ὁ Θωμᾶς, ἤ ὅτι μεθ' ἑτέρου γεγέννηται, ἤ διά τό διστάσαι τῇ Ἀναστάσει· ἤ ὅτι οὕτως ἐκ φύσεως κεκολλημένοι ἦσαν αὐτοῦ οἱ δύο δάκτυλοι τῆς χειρός τῆς δεξιᾶς, ὁ μέσος δηλονότι καί ὁ πρό ἐκείνου, ὁ λεγόμενος λιχανός· ἴσως ἄν τις φαίη, ὅτι διστάζειν ἔμελλε, καί μετ' αὐτῶν ψηλαφᾶν. Ἄλλοι δέ λέγουσιν, ὅπερ καί ἀκριβέστερον, ὅτι τό, Θωμᾶς, Δίδυμος ἑρμηνεύεται. Δευτέρα μέν αὕτη ἐμφάνεια τοῦ Χριστοῦ.

Τρίτη δέ γέγονεν, ἐπί τῆς θαλάσσης τῆς Τιβεριάδος, ἐν τῇ ἄγρᾳ τῶν ἰχθύων, ὅτε καί τροφῆς μετέσχε, τῷ θεϊκῷ πυρί καταναλωθείσης, ὡς οἶδεν αὐτός, βεβαιοτέραν τήν Ἀνάστασιν παριστῶν. Εἶτα εἰς Ἐμμαούς φαίνεται. Πέμπτον ἐν Γαλιλαίᾳ· καί ἑνδεκάκις, ὥς φασι, φαίνεται, ἕως οὗ ἀνελήφθη, πολλά καί ὑπερφυῆ σημεῖα ποιῶν ἐνώπιον τῶν Μαθητῶν, μετά τήν Ἀνάστασιν (οὐ

γάρ τοῖς πολλοῖς ταῦτα ἐπεδείκνυτο)· παρήκασι δέ ταῦτα πάντα οἱ Εὐαγγελισταί ἀναγράψασθαι, διότι οὐκ ἦν δυνατόν ταῦτα τούς πολλούς, καί ἐν τῷ κόσμῳ ἀναστρεφομένους ἀνθρώπους, ἀκούειν, ὡς ὑπερφυῆ λίαν τυγχάνοντα.

Ταῖς τοῦ σοῦ Ἀποστόλου Θωμᾶ πρεσβείαις, Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄


Εἰς τήν παροῦσαν Κυριακήν, ὁποῦ πρώτη ἀπαντᾷ, ὕστερον ἀπό τό Πάσχα, ἑορτάζομεν τά Ἐγκαίνια τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, καί τήν τοῦ Ἀποστόλου Θωμᾶ ψηλάφησιν τοῦ Κυριακοῦ Σώματος. Ἐγκαίνια τῶν ἐπισήμων πραγμάτων, ἦτον ἀρχαία συνήθεια εἰς τούς Ἑβραίους κατ' ἔτος νά γίνωνται, διά νά μήν ἀλησμονῶνται τά μεγάλα ἔργα, τῶν ὁποίων ἡ ἐνθύμησις, ἐγίνετο διδασκαλίας καί σωτηρίας ὑπόθεσις. Διά τοῦτο οἱ Ἑβραῖοι πρῶτον ἐν Γαλγάλοις, ἔκαμαν τό Πάσχα, ἐγκαινίζοντες, ἤγουν ἀνακαλοῦντες εἰς τήν μνήμην των, τήν παράδοξον διάβασιν τῆς Ἐρυθρᾶς Θαλάσσης, εἰς τήν ὁποίαν εἶδον τούς Αἰγυπτίους ὑποβρυχίους, ἀπό τήν παντοδύναμον τοῦ Ὑψίστου δεξιάν. Ἐκ ταύτης τῆς αἰτίας ἐγκαινίζεται καί ἡ σκηνή τοῦ Μαρτυρίου, καί πολυτελῶς· ἐντεῦθεν καί ἡ Βασιλεία τοῦ Δαβίδ, καί τά

ἄλλα διά νά μή λέγω αὐτά ἕν πρός ἕν. Ἐπειδή λοιπόν ἀπό ὅλα τά Μυστήρια τῆς Ἁγίας μας Πίστεως, ὑπερμέγιστον, καί ὑπέρ πᾶσαν ἔννοιαν, καί λόγον, ἔργόν ἐστιν ἡ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ Ἀνάστασις· διά τοῦτο, ὄχι μόνον, κάθε χρόνον αὐτήν ἐγκαινίζομεν, καί ἑορτάζομεν, ἀλλά πάντοτε, καί εἰς κάθε ὀκτώ ἡμέρας. Πρῶτος λοιπόν ἐγκαινισμός τῆς Ἀναστάσεως, εἶναι ἡ παροῦσα Κυριακή, ἡ ὁποία κυρίως ἠμπορεῖ νά λέγηται, καί ὀγδόη, καί πρώτη· ὀγδόη μέν, ὡς ἀπό τοῦ Πάσχα, πρώτη δέ, ὡς ἡ ἀρχή τῶν ἄλλων· καί πάλιν ὀγδόη, ὅτι εἰς τύπον καί εἰκόνα λαμβάνεται τῆς ἀτελευτήτου ἡμέρας ἐκείνης τῆς ἐν τῷ μέλλοντι αἰῶνι· ἡ ὁποία καί πρώτη καί μία ἔσται βεβαιότατα, ὡσάν ὁποῦ νύκτα δέν τήν διαδέχεται. Ταῦτα περί τῶν ἐγκαινίων. Ἡ δέ περί τοῦ Θωμᾶ Ἱστορία, οὕτως ἔχει. Ἐπειδή αὐτός μόνος ἀπό τόν φόβον τῶν Ἑβραίων, ἔλαχε νά λείπῃ ἀπό τήν συνοδίαν τῶν ἄλλων Μαθητῶν, ὅταν ὁ Κύριος κατ' αὐτήν τήν Κυριακήν ὁποῦ ἀνέστη, κεκλεισμένων τῶν θυρῶν, ἦλθε καί ἔστη εἰς τό μέσον αὐτῶν, καί τόν γλυκύτατον χαιρετισμόν τήν εἰρήνην τοῖς ἔδωκεν, ὕστερον ἐκεῖνοι μέν ἔλεγον, ὅτι ἑωράκαμεν τόν Κύριον· αὐτός δέ ἔλεγεν, ὅτι ἄν αὐτός δέν βάλῃ τήν χεῖρά του εἰς τήν πλευράν του, καί τόν δάκτυλόν του εἰς τόν τύπον τῶν ἥλων, δέν θέλει πιστεύσει. Διά τοῦτο ὁ φιλάνθρωπος Κύριος, φροντίζων καί αὐτοῦ τοῦ ἑνός τήν σωτηρίαν, καί ἐνταὐτῷ οἰκονομίαν μεταχειριζόμενος, διά νά πι-

στώσῃ τήν Ἀνάστασίν του περισσότερον διά τούτου, διά τοῦτο λέγω, πάλιν ὕστερον ἀπό ὀκτώ ἡμέρας παρόντος καί τοῦ Θωμᾶ, πάλιν ἦλθε κεκλεισμένων τῶν θυρῶν, καί δεικνύων, πώς ἤκουσεν ἐκεῖνα ὁποῦ ἔλεγεν ὁ Θωμᾶς εἰς τούς συμμαθητάς του, τόν ἔκραξε, καί τόν ἐπρόσταξε νά πληρώσῃ τήν περιέργειάν του, μέ τήν ψηλάφησιν τῶν δακτύλων καί τῆς Ἁγίας του Πλευρᾶς· καί τοῦτο ποιῶν ἐβόησε τῇ μεγάλῃ φωνῇ ἀπό βαθέων ψυχῆς καί καρδίας «ὁ Κύριός μου καί ὁ Θεός μου». Δηλοῖ δέ πώς ἡ πληγή τῆς πλευρᾶς ἦτον μεγάλη, ὥστε ὁποῦ ἐχώρει καί τήν χεῖρα. Κατά συγκατάβασιν δέ ἄκραν ἐγίνοντο ταῦτα, διά νά πιστωθῇ ἡ Ἀνάστασις, καθώς καί διά τήν αὐτήν αἰτίαν, καί ἔφαγε καί ἔπιεν. Ὅτι τό Θεῖον ἐκεῖνο Σῶμα δέν ὑπέκειτο πλέον μήτε εἰς αἴσθησιν, μήτε εἰς κανέν ἀπό τά φυσικά πάθη, ἄφθαρτον ἤδη γενόμενον. Ὁ μέν οὖν Θωμᾶς μετά φόβου, ὡμολόγησεν, ὁ δέ Κύριος τούς μή ἰδόντας καί πιστεύσαντας ἐμακάρισεν, εἰπών, μακάριοι, οἱ μή ἰδόντες, καί πιστεύσαντες. Δίδυμος δέ λέγεται ὁ Θωμᾶς, ἤ ὡς μέ ἄλλον ὁμοῦ γεννηθείς, ἤ ὡς ἔχων κολλημένους τούς δύω δακτύλους, ἤ διατί ἐδίστασεν εἰς τήν Ἀνάστασιν. Ἄλλοι δέ εἶπον, ὅτι τό Θωμᾶς ὄνομα, Δίδυμος ἑρμηνεύεται. Δευτέρα ἐστάθη αὕτη φανέρωσις τοῦ Χριστοῦ· τρίτη ἡ ἐπί τῆς θαλάσσης τῆς Τιβεριάδος· εἶτα εἰς Ἐμμαούς φαίνεται· πέμπτον ἐν Γαλιλαίᾳ· καί καθώς λέγουσιν, ἐνδεκάκις ἐφάνη, ἕως οὗ ἀνελήφθη, πολλά καί ὑπερφυῆ

σημεῖα ποιῶν, ἐνώπιον τῶν Μαθητῶν μετά τήν Ἀνάστασιν, ὅτι εἰς τούς πολλούς ταῦτα δέν τά ἐδείκνυε, τά ὁποῖα οἱ Εὐαγγελισταί ἄφησαν καί δέν τά ἔγραψαν, ὡσάν ὁποῦ δέν ἦτον δυνατόν ταῦτα νά τά ἀκούουν οἱ κοινολαΐται, καί εἰς τόν κόσμον ἀναστρεφόμενοι, ὡσάν ὁποῦ ἦσαν κατά πολλά ὑψηλά καί ὑπερφυσικά.

Ταῖς τοῦ σοῦ Ἀποστόλου Θωμᾶ πρεσβείαις Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.


ΙΣ ΧΣ
Ο Ν
ΜΡ ΘΥ



ΚΥΡΙΑΚΗ ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ

(Γ΄ ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τρίτῃ ἀπό τοῦ Πάσχα, τήν τῶν ἁγίων γυναικῶν Μυροφόρων ἑορτήν ἑορτάζομεν· ἔτι δέ μνείαν ποιούμεθα καί τοῦ ἐξ Ἀριμαθαίας Ἰωσήφ, ὅς ἦν μαθητής κεκρυμμένος· πρός δέ, καί τοῦ νυκτερινοῦ μαθητοῦ Νικοδήμου.

Α΄

Τούτων, αἱ μέν γυναῖκες αὗται, εἰσί μάρτυρες ἀψευδεῖς καί πρῶται, τῆς Ἀναστάσεως. Ἰωσήφ δέ καί Νικόδημος, τῆς ταφῆς· ἅ δή καί κυριώτατα εἰσί, καί συνεκτικώτατα τοῦ καθ' ἡμᾶς δόγματος. Αὐτίκα γάρ, ὁ μέν Νικόδημος ἀποσυνάγωγος γέγονε, μή τοῖς Ἰουδαίοις αἱρούμενος συμφρονεῖν· ὁ δέ Ἰωσήφ, μετά τό ἐνταφιάσαι τοῦ Κυρίου τό σῶμα, ἐν βόθρῳ παρά τῶν Ἰουδαίων βάλλεται, καί θείᾳ δυνάμει ἐκεῖθεν ἁρπάζεται, καί εἰς Ἀριμαθαίαν, τήν ἰδίαν πατρίδα, γίνεται· καί ὁ Χριστός ἀναστάς, αὐτῷ ἐμφανίζεται, τοῖς δεσμοῖς ἐχομένῳ, καί πιστοῖ τούτῳ πλέον τῆς Ἀναστάσεως τό μυστήριον. Πολλά δέ καί πρός Ἰουδαίων πάσχων, σιωπῇ τά τοῦ μυστηρίου διδόναι οὐκ ἠνέσχετο, ἀλλά παῤῥησίᾳ

πᾶσι τά γεγενημένα ἐδίδασκε. Λέγεται μέντοι, ὡς καί Νικόδημος οὗτος, λεπτομερῶς τά κατά τό Πάθος τοῦ Χριστοῦ καί τήν Ἀνάστασιν, συντάγμασι διεσάφησε πρῶτος πάντων, ὡς τῆς συναγωγῆς ὤν, καί ἀκριβέστερον τάς τε βουλάς τῶν Ἰουδαίων, καί τούς λόγους καί ἁπλῶς τά πάντα εἰδώς· καί διά ταύτην τήν αἰτίαν, ὡς εἴπομεν, ὅτι ἀψευδεῖς τῆς ταφῆς μάρτυρες, μετά τῶν τήν Ἀνάστασιν θεασαμένων γυναικῶν ἐτάχθησαν, καί μετά τήν πρώτην τοῦ Θωμᾶ πίστωσιν· ἐκείνη γάρ προετάχθη, ὅτι μεθ' ἡμέρας, φησίν, ὀκτώ ἦλθε.

Αἱ γυναῖκες γοῦν αὗται, πρῶται τήν Ἀνάστασιν εἶδον, καί τοῖς Μαθηταῖς ταύτην εὐηγγελίσαντο· ἐχρῆν καί γάρ τό πρῶτον πεσόν φῦλον ὑπό τήν ἁμαρτίαν, καί τήν ἀράν κληρωσάμενον, αὐτό τοῦτο πρῶτον καί τήν Ἀνάστασιν κατιδεῖν· καί τήν χαράν ἐνωτίσασθαι, τό πρῶτον ἀκοῦσαν. «Ἐν λύπαις τέξῃ τέκνα». Μυροφόροι δέ ἐκλήθησαν, διότι, τοῦ Πάσχα ἐνισταμένου, διά τήν Παρασκευήν, ὅτι μεγάλη ἡ ἡμέρα τοῦ Σαββάτου ἐκεί-
268 νου, ἐπεί ἔσπευδον θάψαι τό σῶμα τοῦ Κυρίου, Ἰωσήφ καί Νικόδημος, οἵ, κατά τό Ἰουδαίων ἔθος, μύροις αὐτό ἤλειψαν, ἀλλ' οὐχ ὡς ἐχρῆν· ἀλόην γάρ καί σμύρναν τό πλέον βαλόντες, καί σινδόνι περιελίξανες, τῷ τάφῳ παραδεδώκασι· τούτου χάριν αὗται, ἀγάπην διαπύρως ἔχουσαι πρός Χριστόν, ὡς μαθήτριαι, μύρα πολυτελῆ ὠνησάμεναι, νυκτός παρεγένοντο· ἅμα μέν καί διά τόν τῶν Ἰουδαίων φόβον, ἅμα δέ, καί ὡς ἔθος, ὀρθριώτε-

ρον κλαῦσαι καί μυρίσαι αὐτό· καί τό ἐλλεῖψαν διά τήν ἔπειξιν τοῦ καιροῦ, τότε ἀναπληρῶσαι. Ὅτε, παραγενόμεναι, διαφόρους ὀπτασίας κατεῖδον· τούς τε ἀστράπτοντας δύο Ἀγγέλους ἔνδοθεν τοῦ μνήματος, καί τόν ὑπέρ τοῦ λίθου καθήμενον ἕτερον· μετά δέ ταῦτα, Χριστόν ὁρῶσι καί προσκυνοῦσιν· ἡ δέ Μαγδαληνή καί ὡς κηπουρόν αὐτόν περί ἑαυτοῦ ἐπηρώτα.

Πολλαί μέν οὖν ἦσαν αἱ Μυροφόροι, ἀλλ' οἱ Εὐαγγελισταί, τῶν ἐπισήμων μόνον ποιησάμενοι μνείαν, τάς ἄλλας παρεῖδον. Ἦσαν δέ αὗται: Πρώτη πασῶν, ἡ Μαγδαληνή Μαρία, ἀφ' ἧς καί δαιμόνια ἑπτά ὁ Χριστός ἐξέβαλεν· ἥτις, καί μετά τήν Ἀνάληψιν τοῦ Χριστοῦ, εἰς Ῥώμην παραγενομένη, ὡς λόγος, καινῷ θανάτῳ τόν Πιλᾶτον καί τούς Ἀρχιερεῖς παραδίδωσι, τά κατά τόν Χριστόν πρός τόν Καίσαρα Τιβέριον ἀνενέγκασα· ἐς ὕστερον δέ ἐν Ἐφέσῳ θνήσκει καί παρά τοῦ Θεολόγου Ἰωάννου θάπτεται· ὑπό δέ τοῦ σοφωτάτου Λέοντος εἰς τήν Κωνσταντινούπολιν διαβιβάζεται. Δευτέρα δέ ἡ Σαλώμη, ἥτις θυγάτηρ γενομένη Ἰωσήφ τοῦ Μνήστορος, τόν Ζεβεδαῖον ἔσχεν ἄνδρα, ἀφ' ἧς ὁ Εὐαγγελιστής Ἰωάννης, καί ὁ Ἰάκωβος ἐγεννήθησαν. Τέσσαρας μέν γάρ υἱούς ἄῤῥενας ἐγέννησεν ὁ Ἰωσήφ· Ἰάκωβον, τόν λεγόμενον μικρόν, καί Ἰωσῆν, καί Σίμωνα, καί Ἰούδαν· θυγατέρας δέ τρεῖς· τήν Ἐσθήρ, τήν Θάμαρ, καί τήν Σαλώμην, τήν τοῦ Ζεβεδαίου. Ὥστε, ὅταν ἀκούσῃς ἐν τῷ Εὐαγγελίῳ, Μαρίαν, Ἰακώβου τοῦ μικροῦ καί Ἰωσῆ

μητέρα, τήν Θεοτόκον νόμιζε εἶναι· ὅτι ὡς Μήτηρ τῶν τοῦ Ἰωσήφ παίδων, ἡ Θεοτόκος κατελογίζετο· ὡς συμβαίνει ἐντεῦθεν ἀνεψιόν εἶναι τοῦ Χριστοῦ τόν Εὐαγγελιστήν Ἰωάννην, ὡς ἀδελφόπαιδα. Τρίτη δέ τῶν Μυροφόρων ἐστίν Ἰωάννα, ἡ γυνή τοῦ Χουζᾶ, ὅς ἦν ἐπίτροπος καί οἰκονόμος τῆς οἰκίας τοῦ Βασιλέως Ἡρῴδου. Τετάρτη δέ καί Πέμπτη, Μαρία καί Μάρθα, ἀδελφαί τοῦ Λαζάρου. Ἕκτη ἡ τοῦ Κλωπᾶ Μαρία. Κλωπᾶν δέ τινες, τόν Κλεόπαν λέγουσιν. Ἑβδόμη, ἡ Σωσάννα. Καί ἄλλαι δέ πλεῖσται ἦσαν, ὡς ὁ θεῖος Λουκᾶς ἱστορεῖ, αἵτινες ἦσαν, φησί, διακονοῦσαι τῷ Χριστῷ, καί τοῖς Μαθηταῖς αὐτοῦ, ἀπό τῶν ὑπαρχόντων αὐτῶν.

Ὅτι γοῦν αὗται τήν Ἀνάστασιν ἐκήρυξαν, καί πολλά τά καθ' ἡμᾶς δόγματα συνεβάλοντο, εἰς πίστωσιν καί πληροφορίαν ἀκραιφνῆ τῆς Χριστοῦ Ἀναστάσεως, μετά τόν Θωμᾶν, καί ταύτας παρέλαβεν ἑορτάζειν ἡ τοῦ Θεοῦ Ἐκκλησία, ὡς ἰδούσας πρώτας Χριστόν ἐκ νεκρῶν, καί τοῖς πᾶσι καταγγειλάσας τό σωτήριον κήρυγμα, καί τήν κατά Χριστόν πολιτείαν μετελθούσας ἀρίστως, καί ὡς ἐχρῆν γυναιξί, μαθητευθείσαις Χριστῷ.

Ταῖς τῶν ἁγίων Μυροφόρων πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Τῇ Κυριακῇ τρίτῃ ἀπό τοῦ Πάσχα, τήν ἑορτήν ἐπιτελοῦμεν τῶν Ἁγίων Μυροφόρων γυναικῶν, καί Ἰωσήφ τοῦ ἐξ Ἀριμαθαίας, ὁ ὁποῖος ἦτον Μαθητής, ἀλλά κεκρυμμένος, ἐκ τῶν ἑβδομήκοντα εἷς. Ὁμοῦ δέ μέ αὐτούς ποιοῦμεν μνείαν, καί Νικοδήμου τοῦ νυκτερινοῦ Μαθητοῦ, ὅστις ἐκ τῶν ἀρχόντων ἦν, καί προσῆλθε τῷ Χριστῷ ἐν καιρῷ νυκτός, διά νά μή τόν κάμωσιν ἀποσυνάγωγον. Αἱ μέν γυναῖκες αὗται, εἶναι μάρτυρες ἀψευδεῖς, καί πρῶται τῆς Ἀναστάσεως. Ἰωσήφ δέ καί Νικόδημος ὑπηρέται τῆς ταφῆς, καί μάρτυρες οἱ αὐτοί· ὅτι τά δύω ταῦτα, ἡ Ταφή, καί ἡ Ἀνάστασις, εἶναι τά κυριώτατα, καί συνεκτικώτατα τοῦ καθ' ἡμᾶς δόγματος· καί στοχασθῆτε, ὁ μέν Νικόδημος, εὐθύς ἔγινεν ἀποσυνάγωγος, ὡσάν ὁποῦ δέν ἠθέλησε νά συμφωνῇ μέ τούς ἄλλους Ἰουδαίους· τόν δέ Ἰωσήφ, ἐπειδὴ ἐπῆγεν εἰς τόν Πιλᾶτον, καί ἐζήτησε τό Σῶμα τοῦ Ἰησοῦ, καί τό ἐνταφίασεν· ἀφ' οὗ τό ἐνταφίασε, τόν ἔῤῥιψαν οἱ φονικώτατοι μέσα εἰς βαθύν λάκκον, καί ἐκ θείας δυνάμεως, διά χειρός θείου Ἀγγέλου, ἐκεῖθεν ἁρπάζεται, καί εἰς τήν Ἀριμαθαίαν, τήν ἰδίαν του πατρίδα, ἀποσώζεται. Καί ὁ Χριστός ἀναστάς ἐφάνη εἰς αὐτόν ἀκόμη τά δεσμά φέροντα, καί πιστώνει αὐτόν ἀκόμη περισσότερον τό μυστήριον τῆς Ἀναστάσεως· καί πολλά πάσχων ἀπό τούς Ἰουδαίους διά νά μή κηρύττῃ τήν Ἀνάστασιν τοῦ Σωτῆρος, αὐτός δέν ὑπέφερε νά σιωπᾷ

τό μυστήριον, ἀλλά παῤῥησίᾳ πρός πάντας ἐδιηγεῖτο τά γενόμενα. Λέγεται δέ καί περί τοῦ Νικοδήμου, ὅτι λεπτομερῶς μέ ἴδιόν του σύγγραμμα διεσάφησε τά τοῦ Πάθους, καί τῆς Ἀναστάσεως, ὡσάν ὁποῦ ἦτον εἷς τῆς συναγωγῆς, καί ἤξευρεν ἀκριβέστερον, καί τάς βουλάς καί τούς λόγους τῶν Ἰουδαίων, καί ἁπλῶς εἰπεῖν ἅπαντα. Καί διά ταύτην τήν αἰτίαν, ὡς εἴπομεν, μετά Μυροφόρων γυναικῶν ἐτάχθησαν, τῶν τήν Ἀνάστασιν θεασαμένων, ὡς ἀψευδεῖς δηλονότι μάρτυρες τῆς τοῦ Κυρίου Ταφῆς. Αἱ γυναῖκες λοιπόν αὗται, πρῶται τήν Ἀνάστασιν, ὡς εἴρηται, εἶδον, καί αὐταί ἔφεραν καί εἰς τούς Μαθητάς τά χαροποιά ταῦτα μηνύματα· ὅτι οὕτω καί ἔπρεπε τό πρῶτον γένος, ὁποῦ ἥμαρτε, καί τήν ἀράν ἐκληρονόμησεν, αὐτό τοῦτο πρῶτον, καί τήν Ἀνάστασιν νά ἰδῇ, καὶ τήν χαράν νά ἀκούσῃ τό πρῶτον, ὁποῦ ἤκουσεν ἐν λύπαις τέξει τέκνα. Μυροφόροι δέ ὠνομάσθησαν, ἐπειδή καί ὁ Ἰωσήφ καί ὁ Νικόδημος ἔχοντες βίαν νά μή τούς φθάσῃ ἡ νύξ τοῦ Σαββάτου, μόνον μέ ἀλόην καί σμύρναν ἤλειψαν τό Σῶμα, καί τειλίξαντες αὐτό μέ τήν σινδόνα, τό ἐνταφίασαν. Διά τοῦτο αὗται αἱ γυναῖκες, ἐπειδή πολλήν ἀγάπην εἰς αὐτόν, ὡς Θεῖον Διδάσκαλον εἶχον, διά τοῦτο λέγω τήν Παρασκευήν, ἠγόρασαν μύρα πολύτιμα, καί τό μέν Σάββατον ἡσύχασαν διά τήν ἐντολήν· ἔπειτα ἐπῆγαν διά νυκτός νά ἀλείψωσι τό Σῶμα αὐτοῦ. Ἐπῆγαν δέ εἰς καιρόν ὄρθρου, ἕν μέν διά τόν φόβον τῶν Ἰουδαίων,

ἄλλο δέ, ὅτι εἰς τοιαύτην ὥραν ἐσυγχώρει πλέον καί ὁ νόμος, διά νά πιάνουν, καί νά ἐργάζωνται. Ἐκεῖ δέ φθάσασαι, εἶδον διαφόρους ὀπτασίας· τούς ἀστράπτοντας δύω Ἀγγέλους ἔνδοθεν τοῦ μνημείου καί ἄλλον, ὁποῦ ἐκάθητο ἐπάνω εἰς τόν λίθον· ὕστερον, καί αὐτόν εἶδον τόν Χριστόν, καί τόν προσεκύνησαν. Ἡ δέ Μαγδαληνή, καί ἐκ δευτέρου ἠξιώθη νά ἰδῇ τόν Χριστόν, τόν ὁποῖον καί ὡς κηπουρόν ἐπηρώτα. Πολλαί δὲ ἦσαν αἱ Μυροφόροι, πλήν οἱ Εὐαγγελισταί, μόνας τάς ἐπισήμους ἀναφέρουσιν· ἦσαν δέ αἱ ἑξῆς αὗται· πρώτη, μετά τήν Θεοτόκον, ἡ Μαγδαληνή Μαρία, ἀπό τήν ὁποίαν ὁ Χριστός, ἑπτά δαιμόνια ἐξέβαλεν, ἡ ὁποία καί μετά τήν Ἀνάληψιν τοῦ Χριστοῦ εἰς Ῥώμην ἀπελθοῦσα, ὡς λέγεται, ἐνήργησεν εἰς τόν Καίσαρα Τιβέριον, νά θανατώσῃ τόν Πιλᾶτον καί τούς Ἀρχιερεῖς, μέ κακόν θάνατον. Εἶτα ἐν τῇ Ἐφέσῳ τελευτήσασα, ἐτάφη παρά τοῦ Ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου· καί μετά ταῦτα, εἰς τούς κάτω χρόνους, ὁ σοφώτατος Λέων ὁ Βασιλεύς, ἔφερε μέ τιμήν μεγάλην εἰς τήν Κωνσταντινούπολιν τό Ἅγιόν της Λείψανον. Δευτέρα Μυροφόρος ἦτον ἡ Σαλώμη, θυγάτηρ γενομένη Ἰωσήφ τοῦ Μνήστορος· ὅτι τέσσαρας μέν υἱούς ἐγέννησεν ὁ Ἰωσήφ, Ἰάκωβον τόν λεγόμενον Μικρόν, καί Ἰωσῆν, καί Σίμωνα, καί Ἰούδαν· θυγατέρας δέ τρεῖς, τήν Ἐσθήρ, τήν Θάμαρ, καί Σαλώμην τήν τοῦ Ζεβεδαίου. Ὥστε ὅταν ἀκούσῃς ἐν τῷ Εὐαγγελίῳ, Μαρίαν Ἰακώβου,

καί Ἰωσῆ μητέρα, τήν Θεοτόκον νόμιζε εἶναι· ὅτι ὡς μήτηρ τῶν τοῦ Ἰωσήφ παίδων ἡ Θεοτόκος ἐλογίζετο, ὡς συμβαίνειν ἐντεῦθεν ἀνεψιόν τοῦ Χριστοῦ εἶναι, τόν Εὐαγγελιστήν Ἰωάννην, ὡς ἀδελφόπαιδα. Τρίτη δέ Μυροφόρος ἦν Ἰωάννα, ἡ γυνή τοῦ Χουζᾶ, ὁ ὁποῖος ἦτον Ἐπίτροπος καί Οἰκονόμος, τῆς οἰκίας τοῦ Βασιλέως Ἡρῴδου. Τετάρτη δέ καί πέμπτη, Μαρία καί Μάρθα ἀδελφαί τοῦ Λαζάρου. Ἕκτη δέ Μαρία ἡ τοῦ Κλωπᾶ, τόν ὁποῖον καί Κλεόπαν κάποιοι λέγουσιν. Ἑβδόμη ἡ Σωσάννα, καί ἄλλαι δέ πάμπολλαι ἦσαν, καθώς ὁ θεῖος ἱστορεῖ Λουκᾶς, αἱ ὁποῖαι λέγει, ὑπηρέτουν τῷ Χριστῷ, καί τοῖς Μαθηταῖς αὐτοῦ ἀπό τῶν ὑπαρχόντων αὐτῶν. Ἐπειδή γοῦν αὐταί πρῶται εἶδον ἀναστάντα τόν Χριστόν, καί αὐταί πρῶται ἐκήρυξαν εἰς τούς Μαθητάς τήν Ἀνάστασιν αὐτοῦ, καί ἡ ἑορτή τούτων ἔπρεπε νά προηγῆται τῆς τοῦ Θωμᾶ· ἀλλ' ἐπειδή ῥητῶς ὁ Εὐαγγελιστής Ἰωάννης λέγει, ὅτι μεθ' ἡμέρας ὀκτώ ἐπράχθη τά κατά τόν Θωμᾶν, διά τοῦτο προέλαβε μέν ἐκείνη, τρίτη δέ αὕτη τέτακται μετά τό Πάσχα. Ταῖς τῶν Ἁγίων Μυροφόρων πρεσβείαις ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.





ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΡΑΛΥΤΟΥ

(Δ΄ ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τετάρτῃ ἀπό τοῦ Πάσχα, τοῦ Παραλύτου μνείαν ποιούμεθα, καί ὡς εἰκός τό τοιοῦτον ἑορτάζομεν θαῦμα.

Α΄

Τέθειται ἐνταῦθα καί τοῦτο, ὅτι κατά τόν καιρόν τῆς παρ' Ἑβραίοις Πεντηκοστῆς ὁ Χριστός διεπράξατο τοῦτο. Ἀναβάς γάρ εἰς Ἱεροσόλυμα, εἰς τήν Ἑορτήν, καί ἐν τῇ πενταστόῳ Κολυμβήθρᾳ γενόμενος, ἥν Σολομών ᾠκοδόμησεν, ἥτις δή καί Προβατική ἐπεκέκλητο, ὅτι τῶν ἐν τῷ Ἱερῷ σφαζομένων εἰς θυσίαν προβάτων, ἐκεῖσε τά ἐντόσθια ἔπλυνον· ἤ καί διά τό, τόν πρώτως ἐκεῖσε βαίνοντα, ἡνίκα ὑπό τοῦ Ἀγγέλου εἰσάπαξ τοῦ ἔτους, τό ὕδωρ ἐταράττετο, ὑγιῆ ἀναδείκνυσθαι. Εὑρίσκει οὖν ἐκεῖ ἄνθρωπον, τριάκοντα καί ὀκτώ ἔτη ἔχοντα, καί, ἀπορίᾳ τοῦ εἰσβάλλοντος αὐτόν ἐν τῷ ὕδατι, κατακείμενον· ἐξ οὗ δή μανθάνομεν, πόσον ἡ καρτερία καί ἡ ὑπομονή ἀγαθόν· καί ὅτι, ἐπεί τό Βάπτισμα δοθῆναι ἔμελλε, ῥυπτικόν ἁμαρτίας ἁπάσης, ᾠκονόμησεν ὁ Θεός, ἐν τῇ παλαιᾷ δι' ὕδατος ἐνεργεῖσθαι τεράστια· ἵνα ὅταν ἐκεῖνο γένηται,

εὐκόλως παραδεχθείη. Ἐπί τοῦτον δή τόν Παράλυτον, Ἴαρον οὐτωσίπως ὀνομαζόμενον, ἔρχεται ὁ Ἰησοῦς, καί ἐρωτᾷ αὐτόν· ὁ δέ, τήν ἀπορίαν τήν τοῦ συνεργήσοντος προβάλλεται. Καί ὁ Χριστός, τό ἐπί τοσοῦτον ἐκτακῆναι τοῦτον τῇ ἀσθενείᾳ εἰδώς, λέγει· Ἆρόν σου τόν κράββατον καί περιπάτει· καί αὐτίκα ὑγιής ἀναδείκνυται, καί τήν κλίνην ἐπ' ὤμων ἀράμενος, ἵνα μή φαντασία τό πρᾶγμα δόξῃ, τήν εἰς τόν οἶκον ἐβάδιζε. Σαββάτου δέ ὄντος, ἐκωλύετο παρά τῶν Ἰουδαίων περιπατεῖν. Ὁ δέ τόν ὑγιώσαντα προεβάλλετο, ὡς εἰπόντα ἐν Σαββάτῳ περιπατεῖν, μή εἰδώς ὁποῖός ἐστιν· ὁ γάρ Ἰησοῦς, φησίν, ὄχλου ἐκεῖσε συναθροισθέντος, ἐξέκλινεν ἀποκρυβείς.

Μετά δέ ταῦτα εὗρεν αὐτόν ὁ Ἰησοῦς ἐν τῷ Ἱερῷ, καί λέγει αὐτῷ· Ἴδε ὑγιής γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μή χεῖρόν τι σοι γένηται. Τοῦτο δέ φασί τινες εἰπεῖν τόν Χριστόν, οὐκ ὀρθῶς λέγοντες, ἐπειδή αὐτός ἔμελλε διδόναι τῷ Ἰησοῦ ράπισμα ὕστερον, ὅτε τῷ Ἀρχιερεῖ Καϊάφᾳ παρίστατο, καί χείρονα τῆς παραλύσεως πειρασμόν ἐντεῦθεν κληρώσεσθαι τῷ αἰωνίῳ πυρί, οὐχί τριάκοντα ἔτη καί ὀκτώ μόνον, ἀλλ' εἰς ἀεί βασανίζεσθαι· μᾶλλον γάρ ἔδειξεν ὁ Κύριος ἐξ ἁμαρτιῶν αὐτῷ τήν τῆς παραλύσεως ἐπισυμβῆναι ἀσθένειαν. Οὐ μήν δέ πᾶσα ἀσθένεια ἐξ ἁμαρτιῶν, ἀλλά καί ἐκ φυσικῆς νόσου, καί ἐξ ἀδηφαγίας καί ἀδιαφορίας, καί ἑτέρων πολλῶν ἐπιγίνεται. Γνοῦς μέντοι ὁ Παράλυτος, ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας

αὐτόν ὑγιῆ, τοῦτο τοῖς Ἰουδαίοις καθίστησι γνώριμον· οἱ δέ εἰς ἄμυναν ἐρεθισθέντες, ἐζήτουν ἀποκτεῖναι τόν Χριστόν, ὅτι δῆθεν τό Σάββατον ἔλυσεν. Ὁ δέ αὐτοῖς πολλά διελέγετο, συνιστῶν ὡς δίκαιον καί ἐν Σαββάτῳ εὐεργετεῖν· καί ὅτι αὐτός ἐστιν, ὁ τό Σάββατον εἰπών τηρεῖν, ὅς ἴσος ἐστί τῷ Πατρί· καί ὥσπερ ἐκεῖνος ἕτι ἐργάζεται, οὕτω καί οὗτος.

Ἰστέον δέ, ὡς ἕτερος οὗτος ὁ Παράλυτος, τοῦ ἐν τῷ Ματθαίῳ Παραλυτικοῦ· ἐκεῖνο μέν γάρ ἐν οἰκίᾳ ἐπράχθη, καί ὑπηρετούντων ἐκείνῳ ἀνθρώπων, καί Ἀφέωνταί σου αἱ ἁμαρτίαι ἀκούσαντι· τοῦτο δέ ἐν τῇ Στοᾷ ἐτελέσθη, καί ἄνθρωπον οὐκ εἶχεν, ὡς λέγει τό Ἱερόν Εὐαγγέλιον· καί ὅτι τόν κράββατον ἦρεν, ὡς καί ἐκεῖνος. Ἑορτάζεται δέ ἀρτίως, διά τό ἐν τῇ Πεντηκοστῇ καί τοῦτο πραχθῆναι, ὥσπερ καί τό τῆς Σαμαρείτιδος, καί τό τοῦ Τυφλοῦ. Τόν μέν γάρ Θωμᾶν, καί τάς Μυροφόρους, εἰς πίστωσιν τῆς ἐκ νεκρῶν τοῦ Χριστοῦ Ἀναστάσεως ἑορτάζομεν· τά δέ λοιπά μέχρι τῆς Ἀναλήψεως, διότι αὐτά ἐν τῷ καιρῷ τῆς παρ' Ἑβραίοις Πεντηκοστῆς διαφόρως ἐνήργησε· καί ὅτι τούτων ὁ Ἰωάννης σχεδόν οὕτως ἐμνημόνευσε.

Τῷ ἀπείρῳ ἐλέει σου, Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Τῇ τετάρτῃ Κυριακῇ ἀπό τό Πάσχα, ποιοῦμεν τήν ἀνάμνησιν τῆς θεραπείας τοῦ Παραλύτου, καί καθώς πρέπει, τό τοιοῦτον ἑορτάζομεν θαῦμα εἰς τοῦτον τόν καιρόν, ὅτι καί ὁ Χριστός, τόν καιρόν ὁποῦ οἱ Ἑβραῖοι ἑώρταζον τήν ἐδικήν των Πεντηκοστήν, εἰς ἐκείνας τάς ἡμέρας ἐτέλεσε τοῦτο τό παράδοξον καθώς, τό διηγεῖται Ἰωάννης ὁ θεῖος Εὐαγγελιστής. Λέγει γάρ ὅτι ἀναβάς ὁ Κύριος εἰς τά Ἱεροσόλυμα, εἰς τάς ἡμέρας τῆς Πεντηκοστῆς, καί πλησιάζων εἰς τήν Κολυμβήθραν ὁποῦ εἶχε πέντε καμάρας, τήν ὁποίαν ὁ Σολομών εἶχε κτίσει κατά τήν Πόρταν ὁποῦ ὠνομάζετο Προβατική· ὅτι δέν ὠνομάζετο ἡ Κολυμβήθρα Προβατική, καθώς τινες ἐξηγοῦσιν, ἀλλά ἡ πόρτα, ἀπό τήν ὁποίαν καί μόνην, ἔμβαζον τά πρόβατα, τά ὁποῖα, κατά τόν νόμον, εἰς θυσίαν προσέφερον. Ὅθεν, καί οἱ ἀκριβέστεροι τῶν Διδασκάλων, τό ῥητόν τοῦ Εὐαγγελίου, ὁποῦ εἶναι ἀπό τόν τύπον διεφθαρμένον, οὕτω, τό ἀναγινώσκουσι καί τό γράφουσιν. «Ἔστι δέ ἐν τοῖς Ἱεροσολύμοις ἐπί τῇ Προβατικῇ Κολυμβήθρᾳ ἡ ἐπιλεγομένη» κ.τ.λ. ἤγουν ἔστι δέ Κολυμβήθρα, ἐπί τῇ Προβατικῇ· διότι ἀλλέως, ἐάν ἀναγινώσκηται, ἐπί τῇ Προβατικῇ Κολυμβήθρᾳ, ἡ ἐπιλεγομένη κ.τ.λ. κατά τήν γραμματικήν τέχνην, εἶναι σφάλμα μέγα, ὁποῦ λέγεται σολοικισμός. Ἀλλ' αὕτη ἡ διόρθωσις εἶναι ἔξω τῆς χρείας. Προβατική δέ ἐλέγετο ἡ πόρτα, ὄχι, ὅτι πρόβατα μοναχά ἔμβαζον ἀπό

ἐκείνην, ἀλλ' ἴσως τήν ὠνόμαζον Προβατικήν ἀπό τό πλεονάζον μέρος τῶν εἰσαγομένων ζώων. Λοιπόν διηγεῖται ὁ θεῖος Εὐαγγελιστής, ὅτι εἰς τήν Κολυμβήθραν ἐκείνην κατέβαινεν Ἄγγελος Κυρίου, μίαν φοράν τόν χρόνον, καί ἐτάραττε τό ὕδωρ, καί ὅποιος ἔμβαινε εἰς αὐτό εὐθύς πρῶτος, ὅ,τι καί ἄν εἶχε πάθος ἰατρεύετο. Διά ταύτην τήν αἰτίαν, καί πλῆθος πολύ ἀσθενῶν ἀπό διάφορα πάθη, εὑρίσκοντο ἐκεῖ κατάκοιτοι· ἀνάμεσα εἰς τούς ὁποίους ἦτον καί εἷς ὁποῦ ἐκοίτετο ἐκεῖ ἀπό παραλυσίαν τοῦ σώματός του τριάκοντα καί ὀκτώ χρόνους· κατά τήν ἀλήθειαν ἀξιοθαύμαστος ἡ καρτερία καί ὑπομονή ἐκείνου τοῦ ἀνδρός. Ὠνομάζετο δέ, ὡς λέγουσι καί Ἰάειρος. Τοῦτον ἰδών ὁ φιλανθρωπότατος Ἰησοῦς, ὡσάν νά μήν ἤξευρεν ὁ τά πάντα εἰδώς, τόν ἐρωτᾷ, λέγων, θέλεις ἄνθρωπε νά ἰατρευθῇς ἀπό τήν παραλυσίαν σου; Αὐθέντα μου, ἀπεκρίθη ὁ παράλυτος, καί πῶς νά ἀξιωθῶ τῆς θεραπείας μου, ὁποῦ δέν ἔχω ἄνθρωπον νά μέ ῥίψῃ μέσα εἰς τήν κολυμβήθραν, ὅταν τό ὕδωρ ταραχθῇ; Ὁ δέ Χριστός, καί μέ ὅλον ὁποῦ ἤξευρε, πώς ἦτον ἀποκαμωμένος ἀπό τήν τόσην πολυχρόνιον ἀσθένειαν, σήκωσαι, τόν ἀπεκρίθη, σήκωσαι εἰς τόν ὦμόν σου τόν κράββατόν σου, καί περιπάτει· καί παρευθύς εὑρέθη ὑγιής ὁ πρώην παράλυτος μιᾶς ζωῆς χρόνους, ὥστε ὁποῦ καί τήν κλίνην του ἐσήκωσεν εἰς τούς ὤμους του, διά νά μή φανῇ φαντασία ἡ θαυματουργία, καί τρέχων ἐπήγαινεν εἰς τό σπίτι

του, δεικνύων μέ τό ἔργον, τοῦ θαύματος τήν δύναμιν. Σάββατον ἦτον, ὅταν τό μέγα τοῦτο θαῦμα ἐποίησεν ὁ Ἰησοῦς· καί οἱ φθονεροί Φαρισαῖοι καί Γραμματεῖς, Σάββατον εἶναι, τόν ἔλεγον, δέν εἶναι συγκεχωρημένον νά βαστάζῃς βάρος εἰς τούς ὤμους σου. Ἀποκριθέντος δέ τοῦ ἰατρευθέντος ὅτι ἐκεῖνος ὁποῦ μέ ἰάτρευσεν, οὕτω μέ ἐπρόσταξεν· ἐκεῖνοι οἱ κακογνώμονες, δέν τόν ἐρωτοῦν, τίς ὁ ποιήσας σε ὑγιῆ, ἐπειδή ἡ εὐεργεσία δέν κατακρίνεται, ἀλλά τόν ἐρωτοῦν, τίς ὁ εἰπών σοι ἆρον σου τόν κράββατον, καί περιπάτει; τό ὁποῖον ἐφαίνετο τοῦ νόμου παράβασις. Ἀλλά τότε δέν ἤξευρε νά τοῖς ἀποκριθῇ, ποῖος ἦτον. Μετά ταῦτα, ὅταν ὁ Χριστός τόν εὗρεν ἐν τῷ Ἱερῷ, καί τῷ εἶπεν, ἴδε ὑγιής γέγονας, μηκέτι ἁμάρτανε· τότε εἶπεν εἰς τούς Ἰουδαίους, ὅτι ὁ Ἰησοῦς, ὁποῦ ποιεῖ τά μεγάλα, καί ἐξαίσια θαύματα, ἐκεῖνος εἶναι, καί τήν ἐδικήν μου παραλυσίαν ἐθεράπευσε. Καί λοιπόν, ὄντες καί ἀπό ἄλλα πρισμένοι, ἔτι περισσότερον καί ἀπό τότε ἤναψαν, καί ἀπεφάσισαν
280 νά τόν θανατώσουν, μέ αἰτίαν, ὅτι λύει τό Σάββατον. Ἀλλ' ὁ Κύριος διά πολλῶν λόγων καί παραδειγμάτων τοῖς ἀπέδειξε, πώς δέν ἐμποδίζεται ὁ θεοσεβής νά κάνῃ εἰς ἄλλους εὐεργεσίαν, καί τήν ἡμέραν τοῦ Σαββάτου· καί συχνά τοῖς ἐδείκνυεν, ὅτι αὐτός εἶναι ὁποῦ τοῖς ἐπρόσταξε νά φυλάττουν τό Σάββατον· ὅτι ἴσος ἐστί τῷ Πατρί, καί καθώς ἐκεῖνος ἐργάζεται, οὕτω καί αὐτός ἐργάζεται, καί ἐξουσίαν ἔχει νά λύῃ τό Σάββα-

τον. Ἐπειδή δέ εἶπεν ὁ Χριστός, εἰς τόν πρῴην παράλυτον, ἴδε ὑγιής γέγονας, δέν πρέπει νά συμπεράνωμεν, πώς ὅλαι αἱ ἀῤῥωστίαι ἀπό ἁμαρτίας προέρχονται· ὅτι πολλά νοσήματα πάθη συμβαίνουσι καί ἀπό πολυφαγίας, καί κραιπάλας, καί ἄλλας ἀταξίας. Τό δέ «ἵνα μή χεῖρον τί σοι γένηται» ἄλλοι ἄλλως ἐξήγησαν· τό δέ πλέον πρόχειρον εἶναι, ὅτι ἐξ ἁμαρτιῶν σου ἐδόθη ἡ ἀσθένεια τῆς παραλυσίας· ἰδού ὁποῦ σέ ἠλέησεν ὁ Θεός διά τήν ὑπομονήν, ὁποῦ ἔδειξας τόσους χρόνους ἐκδεχόμενος ἄνωθεν τήν θεραπείαν σου. Λοιπόν, πρόσεχε εἰς τό ἑξῆς μήν ἁμαρτάνῃς, ὡς καί πρότερον, διά νά μή πάθῃς τά χειρότερα, καί κατακριθῇς εἰς τήν αἰώνιον κόλασιν, ὡς ἀμετανόητος. Λέγουσι δέ, ὅτι ἡ κολυμβήθρα ἐκείνη, τήν κολυμβήθραν τοῦ Βαπτίσματος προεσήμαινεν, ἀλλά κατά πλείστην διαφοράν· ὅτι ἐκείνη ἕνα καί μόνον κατ᾽ ἔτος ἐθεράπευεν, ἡ δέ τοῦ Βαπτίσματος ἅπαντας, καί κάθε καιρόν· καί πάλιν ἐκείνη σωματικήν ἴασιν ἐχάριζεν, αὕτη δέ ψυχικήν, καί ἁπλῶς ὅλον τόν ἄνθρωπον καθαίρει καί ζωοποιεῖ.

Τῷ ἀπείρῳ ἐλέει σου Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.



ΤΗΣ ΜΕΣΟΠΕΝΤΗΚΟΣΤΗΣ

Τῇ Τετάρτῃ τοῦ Παραλύτου, τήν τῆς Μεσοπεντηκοστῆς ἑορτάζομεν ἑορτήν.

Α΄

Τήν Ἑορτήν ταύτην ἑορτάζομεν, διά τήν τιμήν τῶν μεγάλων δύο ἑορτῶν, τοῦ Πάσχα, λέγω, καί τῆς Πεντηκοστῆς, ὡς ἑκατέρας ἑνοῦσάν τε καί συνδέουσαν. Γέγονε δέ αὕτη οὕτω. Μετά τό ἐνεργῆσαι τόν Χριστόν τό εἰς τόν Παράλυτον θαῦμα ὑπερφυές, οἱ Ἰουδαῖοι δῆθεν ὑπέρ τοῦ Σαββάτου σκανδαλιζόμενοι (καί γάρ ἐν Σαββάτῳ πέπρακται), ἐζήτουν αὐτόν ἀποκτεῖναι. Φεύγει τοίνυν εἰς Γαλιλαίαν, καί τοῖς ἐκεῖσε ὄρεσι διατρίβων, τό τῶν πέντε ἄρτων καί τῶν δύο ἰχθύων τεράστιον ἐνεργεῖ, πεντακισχιλίους ἐκθρέψας, χωρίς γυναικῶν καί παιδίων. Μετέπειτα δέ, τῆς Σκηνοπηγίας ἐνστάσης (μεγάλη δέ καί αὕτη ἑορτή παρά Ἰουδαίοις) εἰς Ἱεροσόλυμα ἀναβαίνει, καί περιεπάτει κρυφίως. Περί δέ τό μέσον αὐτῆς εἰς τό ἱερόν ἀνιών, ἐδίδασκε, καί πάντες τῇ αὐτοῦ διδαχῇ ἐξεπλήττοντο· φθονοῦντες δέ αὐτῷ, ἔλεγον· Πῶς οὗτος οἶδε γράμματα, μή μεμαθηκώς; Νέος γάρ ὢν Ἀδάμ, οἶδε, καθά καί ὁ πρῶτος ἐκεῖνος

πάσης ἦν σοφίας ἀνάμεστος, καί ὡς Θεός πάλιν. Ἐγόγγυζον οὖν ἅπαντες, καί πρός φόνον ὁρμῶντες ἦσαν αὐτοῦ. Ὁ δέ Χριστός, ἐλέγχῳ πρός αὐτούς χρώμενος, ὡς ὑπέρ τοῦ Σαββάτου δῆθεν μαχομένους, ἔλεγε· Τί με ζητεῖτε ἀποκτεῖναι; Ὁ δέ πάλιν πρός τά πρότερα ἀποτείνεται· Εἰ ὑπέρ τοῦ νόμου μάχεσθε, λέγων, τί πρός με θυμοῦσθε; ὅτι ὅλον ἄνθρωπον ἐποίησα ὑγιῆ ἐν Σαββάτῳ, τοῦ Μωσέως καί ταῦτα νομοθετοῦντος, καταλύειν αὐτόν, ἡνίκα χάριν τῆς περιτομῆς διαλέγεται. Πολλά οὖν αὐτοῖς περί τούτου διαλεχθείς, καί ἀποδείξας ἑαυτόν δοτῆρα τοῦ νόμου, καί τῷ Πατρί ἴσον, καί μάλιστα τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς Ἑορτῆς, λιθάζεται παρ᾽ αὐτῶν· ἀλλά λίθος αὐτοῦ τό παράπαν οὐχ ἥψατο· ὅτε καί παράγων ἐκεῖθεν, τόν ἐκ γενετῆς εὑρίσκει Τυφλόν, καί ὀμματοῖ αὐτόν.

Ἰστέον δέ, ὡς τρεῖς ἦσαν παρά Ἰουδαίοις μέγισται ἑορταί. Πρώτη ἡ τοῦ Πάσχα, ἥτις ἐτελεῖτο ἐν τῷ πρώτῳ μηνί, ἀνάμνησιν ἔχουσα τῆς ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ διαβάσεως. Δευτέρα δέ, ἡ Πεντηκοστή, τήν ἐν τῇ ἐρήμῳ διατριβήν, μετά τήν τῆς Ἐρυθρᾶς διάβασιν ὑπομιμνήσκουσα· πεντήκοντα γάρ ἡμέρας διῆγον ἐν ἐρήμῳ, ἕως οὗ τόν νόμον τοῦ Μωσέως λάβωσιν. Ἔτι δέ καί διά τήν τοῦ ἑπτά ἀριθμοῦ τιμήν, σεβασμίου παρ᾽ αὐτοῖς ὄντος. Τρίτη δέ αὐτοῖς ἑορτή, ἡ τῆς Σκηνοπηγίας, εἰς ὑπόμνησιν τῆς σκηνῆς, ἥν ἐν τῇ νεφέλῃ τοῦ ὄρους ἰδών Μωϋσῆς, διά τοῦ ἀρχιτέκτονος Βασελεήλ πήξας, ἔστη-

σεν, ἥτις καί ἐν ἑπτά ἐτελεῖτο ἡμέραις, τῆς συγκομιδῆς τῶν καρπῶν μνείαν ἔχουσα, καί τῆς καταπαύσεως τῆς ἐρημικῆς. Τότε δή, τελουμένης ταύτης τῆς Ἑορτῆς, στάς ὁ Ἰησοῦς, μεγάλῃ φωνῇ ἔκραξεν· Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καί πινέτω.

Ἐπεί οὖν τῇ διδασκαλίᾳ ταύτῃ, ὁ Χριστός Μεσσίαν ἑαυτόν ἀπέδειξε, μεσίτης καί διαλλακτής ἡμῶν γενόμενος, καί τοῦ αἰωνίου αὐτοῦ Πατρός, διά ταύτην τήν αἰτία τήν παροῦσαν ἑορτῆς ἑορτάζοντες, καί Μεσοπεντηκοστήν ὀνομάζοντες, τόν Μεσσίαν τε ἀνυμνοῦμεν Χριστόν, καί τό τίμιον τῶν παρ' ἑκάτερα δύο μεγάλων ἑορτῶν παριστάνομεν. Τούτου δέ οἶμαι χάριν καί ἡ τῆς Σαμαρείτιδος μετ' αὐτήν ἑορτή ἑορτάζεται· ὅτι κἀκείνη πολλά περί τοῦ Μεσσίου Χριστοῦ διέξεισι, καί περί ὕδατος καί δίψης, ὡς ἐνταῦθα· ἐν γάρ τῷ Εὐαγγελιστῇ Ἰωάννῃ τό τοῦ Τυφλοῦ μᾶλλον τῆς Σαμαρείτιδος πρόκειται.

Τῷ ἀπείρῳ ἐλέει σου, Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Τῇ Τετάρτῃ ἀπό τῆς Κυριακῆς τοῦ Παραλύτου, τήν καλουμένην Μεσοπεντηκοστήν ἑορτάζομεν. Δέν ἐννοοῦμεν ὅμως Πεντηκοστήν, τήν Πεντηκοστήν τῶν

Ἑβραίων, ἀλλά τήν ἡμετέραν, τήν ὁποίαν ἀριθμοῦμεν ἀπό τήν ἡμέραν τῆς Ἁγίας Ἀναστάσεως, ὅποιον μῆνα τύχῃ, εἴτε Μάρτιον δηλαδή, εἴτε Ἀπρίλιον, ἕως τήν Κυριακήν τῆς τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως. Ταύτης τῆς Ἁγίας Πεντηκοστῆς τό μέσον ἑορτάζομεν σήμερον, ἐπειδή ἀπό τά δύω ἄκρα ἔχει ἡ Τετάρτη αὕτη τάς δύω μεγαλωτάτας ἑορτάς, ἤγουν τήν τῆς Ἀναστάσεως καί τῆς τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως· καί τρόπον τινά εἶναι, ὡσάν σύνδεσμος τῶν δύω καί μεγαλύνεται καί λαμπρύνεται ἀπό τῶν δύω τά μεγαλεῖα καί τάς λαμπρότητας. Πρέπει ὅμως νά ἠξεύρωμεν, ὅτι ἐπειδή καί λέγει ὁ θεῖος Εὐαγγελιστής, ὅτι τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ Ἰησοῦς εἰς τό Ἱερόν καί ἐδίδασκε κ.τ.λ. καί ἡ Ἐκκλησία συχνάκις ψάλλει, ὅτε τό μέσον τῆς ἑορτῆς, ἐπέστη, καί τό θαῦμα συμπεριλαμβάνει τοῦ Παραλύτου· πρέπει λέγω, νά ἠξεύρωμεν, ὅτι τό μέν θαῦμα τοῦ παραλύτου, ὁ Χριστός ἐτέλεσεν εἰς τάς ἡμέρας τῆς Ἑβραϊκῆς Πεντηκοστῆς τήν ὁποίαν ἠρίθμη,
286 ἀπό τό νομικόν των Πάσχα, ἐτέλεσε δηλαδή αὐτό ἔτι ζῶν, πρό τοῦ νά παραδωθῇ καί νά σταυρωθῇ. Τό δέ μέσον, ὁποῦ λέγει ὁ Εὐαγγελιστής, δέν ἐννοεῖ τό μέσον τῆς Ἑβραϊκῆς Πεντηκοστῆς, ἀλλά τῆς Σκηνοπηγίας, τήν ὁποίαν εἶχον μεγάλην ἑορτήν ἴσην μέ ἐκείνην τοῦ Πάσχα. Ὅτι ὁ Μωϋσῆς διά προστάγματος Θεοῦ εἰς τό Λευϊτικόν, ἐνομοθέτησεν εἰς τούς Ἑβραίους, νά κάμουν δέκα ἑορτάς καθ' ἕκαστον χρόνον τῶν ὁποίων

ἡ πρώτη ἦτον τό Πάσχα, καί ἡ ἐσχάτη ἦτον ἡ τῆς σκηνοπηγίας· περί τῆς ὁποίας λέγει, ὅτι ἀπό τόν πρῶτον μῆνα, ὁποῦ ἦτον ὁ Μάρτιος, εἰς τόν ὁποῖον ἐώρταζον τό Πάσχα, ἀριθμοῦντες μῆνας ἑπτά, εἰς τάς δεκαπέντε τοῦ ἑβδόμου, ὁποῦ εἶναι ὁ παρ' ἡμῖν Σεπτέμβριος, νά ποιοῦν ἑορτήν κατ' ἔτος τῶν σκηνῶν, πρός ἐνθύμησιν, λέγει, ὅτι ἐξελθόντες ἀπό τήν Αἴγυπτον, τεσσαράκοντα χρόνους κατῴκουν εἰς σκηνάς, ἤγουν εἰς τέντας, ὄχι εἰς ὀσπήτια καί πόλεις· ὅθεν καί προστάζει, νά ἐμβαίνουν καί αὐτοί εἰς σκηνάς, καί κλάδους χλοερούς, καί πληγάς νά λαμβάνωσι, διά σημεῖον καί ἐνθύμησιν ἐκείνου τοῦ καιροῦ, καί τῆς ἐν ἐρήμῳ κακοπαθείας· καί ταύτην τήν ἑορτήν προστάζει νά τήν ἐπιτελοῦν ὀκτώ ἡμέρας, πλήν τήν πρώτην, καί τήν ἐσχάτην, ἤτοι τήν ὀγδόην, μέ ὅλην τήν τελειότητα, καί παντελῆ ἀργίαν, ἀπό κάθε ἔργον λατρευτόν. Λέγει οὖν ὁ Εὐαγγελιστής Ἰωάννης, ὅτι ἀφ' οὗ ἐποίησε τό εἰς τόν Παράλυτον θαῦμα, ἀνεχώρησεν ὁ Ἰησοῦς εἰς τήν Γαλιλαίαν, παραχωρῶν εἰς τόν φθόνον τῶν Ἰουδαίων, ὁποῦ ἀπό τήν λύσσαν των ἐμελέτησαν καί νά τόν φονεύσουν· ἔπειτα ἀφ' οὗ ἐδιηγήθη πολλά καί ἐξαίσια, ὁποῦ ἐν τῷ μεταξύ ἔπραξεν εἰς ἐκεῖνα τά μέρη, λέγει, πώς ἔφθασε καί ἡ ἑορτή τῆς Σκηνοπηγίας, καί ὅτι ἀφ' οὗ ἀνέβησαν εἰς τά Ἱεροσόλυμα διά τήν ἑορτήν οἱ νομιζόμενοι ἀδελφοί του, ὕστερον ἀνέβη καί αὐτός, εἰς τήν ἀρχήν μέν, ὡς ἐν κρυπτῷ· καί ἐπειδή ζήτησις ἐγίνετο περί αὐτοῦ, τάχα

ἔρχεται, ἤ δέν ἔρχεται εἰς τήν ἑορτήν· τέλος ἐπαῤῥησιάθη εἰς ὅλους, κατά τό μέσον τῆς ἑορτῆς· καθώς ὁ Εὐαγγελιστής ῥητῶς λέγει, ἤδη δέ μεσούσης τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τό Ἱερόν, καί τά ἑξῆς· ὥστε δέν ἐννοεῖται ἑορτή μεσάζουσα ἡ τῆς Πεντηκοστῆς, ἀλλά τῆς Σκηνοπηγίας· ἀλλά κατά τό πρόχειρον, μετά τό θαῦμα τοῦ Παραλύτου, μέσον ἑορτῆς λέγουσι καί ψάλλουσι τό τῆς Πεντηκοστῆς· πλήν τό ἀκριβές τῆς διηγήσεως οὕτως ἔχει, καθώς ἡμεῖς ἐσαφηνίσαμεν. Ἐπειδή λοιπόν, μέ τήν διδασκαλίαν ὁποῦ σήμερον ἔκαμεν ὁ Χριστός παῤῥησίᾳ ἐν τῷ Ἱερῷ, ἀπέδειξεν, ὅτι αὐτός ἦτον ὁ ὑπό τοῦ Μωϋσέως προφητευόμενος Μεσσίας, ἤγουν ὁ ἠλειμμένος ὑπό τοῦ Πατρός τῷ Πνεύματι· διά ταύτην τήν αἰτίαν, καί ἔτι διά τά προειρημένα μεγαλεῖα, τήν παροῦσαν ἐπιτελοῦμεν ἑορτήν, καί Μεσοπεντηκοστήν ὀνομάζομεν.

Τῷ ἀπείρῳ ἐλέει σου Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΚΥΡΙΑΚΗ ΤΗΣ ΣΑΜΑΡΕΙΤΙΔΟΣ

(Ε΄ ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ)

Τῇ αὐτῇ ἡμέρᾳ Κυριακῇ πέμπτῃ ἀπό τοῦ Πάσχα, τήν τῆς Σαμαρείτιδος ἑορτήν ἑορτάζομεν.

Α΄

Ἐπειδή ἐν ταύτῃ ὁ Χριστός Μεσσίαν ἑαυτόν ἀριδήλως ὡμολόγει, ὅ ἐστι Χριστός ἤ ἠλειμμένος (μετά γάρ παρ' Ἑβραίοις τό ἔλαιον), διά τοῦτο, οἶμαι ἐν τῇ τῆς Μεσοπεντηκοστῆς Ἑβδομάδι ἡ παροῦσα τέτακται ἑορτή· καί ὅτι, τῇ μέν πρό ταύτης Κυριακῇ, ἐν τῇ κολυμβήθρᾳ θαυματουργεῖ· ἐν ταύτῃ δέ, ἐπί τῷ τοῦ Ἰακώβ φρέατι, ὅ αὐτός Ἰακώβ ἀνώρυξε, καί ἐχαρίσατο Ἰωσήφ τῷ υἱῷ αὐτοῦ· ἐξαίρετος γάρ ἦν ὁ τόπος, ὅπου καί πλησίον ὄντος τοῦ ὄρους Σομώρ, οἱ Σαμαρεῖται κατῴκουν πόλεις πολλάς. Εἰς Σιχάρ δέ παραγίνεται ὁ Χριστός ὅπου, παροικήσαντι πάλαι τῷ Ἰακώβ, μετά Δείνας τῆς θυγατρός αὐτοῦ καί τῶν παίδων, Συχέμ, ὁ υἱός τοῦ Ἐμμώρ, ὁ Χορραῖος, ἐρασθείς αὐτῆς καί βιασάμενος, συνεγένετο μετ' αὐτῆς· κἀντεῦθεν οἱ ἀδελφοί ταύτης, διερεθισθέντες πρός ζῆλον, αἴφνης εἰσιόντες εἰς τήν πόλιν, ἄρδην ἅπαντας ἀποκτείνουσι, καί αὐτόν τόν

Συχέμ, καί τόν πατέρα αὐτοῦ τόν Ἐμμώρ. Κατοικεῖ οὖν ἐκεῖ ὁ Ἰακώβ, καί τό παρόν φρέαρ ἀνώρυξεν.

Οὐ Σαμαρεῖται δέ τά πρῶτα κατῴκουν αὐτό τό ὄρος, ἀλλ' οἱ Ἰσραηλῖται, οἵ, τῷ Θεῷ προσκεκρουκότες, Φακεέ βασιλεύοντος, διά πρώτης συμβολῆς καί δευτέρας τῶν Ἀσσυρίων παραγενομένων, ὑποτελεῖς φόρου κατέστησαν· καί μετά μικρόν, Ὡσηέ βασιλεύοντος, προσφέρονται τοῖς Αἰθίοψιν· ὁ μαθών ὁ Ἀσσύριος, μεθίστησι τούτους εἰς Βαβυλῶνα, ἐν δ' ἐκείνῳ τῷ τόπῳ διάφορα κατοικεῖν ἔθνη προσέταξεν· ἀλλ' ὁ Θεός λέοντας τοῖς ἀλλοφύλοις ἐκείνους ἐφίησιν. Ὁ δέ Βασιλεύς Ἀσσυρίων, τοῦτο ἀναμαθών, ἱερέα ἐξ Ἰουδαίων αὐτοῖς πέμπει (ἔτι γάρ ἐκεῖ ἦσαν αἰχμάλωτοι), ὡς ἄν καί τούς τοῦ Θεοῦ νόμους εἰσδέξωνται. Καί τῶν μέν εἰδώλων εὐθύς ἀπεπήδησαν· μόνα δέ τά Μωϋσέως βιβλία ἐδέξαντο, ἀπαναινόμενοι τούς Προφήτας, καί τήν λοιπήν Γραφήν. Οὗτοι καί Σαμαρεῖται ἐκαλοῦντο ὡς ἀπό τοῦ ὄρους Σομώρ· καί μισητοί ἦσαν τοῖς Ἑβραίοις, ἐκ τῆς αἰχμαλωσίας ἄρτι ἐπανιοῦσιν, ὅτι ἐξ ἡμισείας ἰουδάϊζον· καί οὐ συνήσθιον αὐτοῖς, βδελυκτούς αὐτούς ἡγούμενοι. Διό τόν Χριστόν πολλάκις Σαμαρείτην ἐκάλουν, ὡς τινά τῶν νομικῶν δῆθεν καταλύοντα, καθάπερ ἐκεῖνοι.

290

Ἔρχεται οὖν εἰς Σιχάρ, καί, κεκοπιακώς ἀπό τῆς ὁδοιπορίας, ἐκάθισε, περί ὥραν τῆς ἡμέρας ἕκτην. Γυνή δέ τις ἀπό τῆς πόλεως ἔρχεται ἀντλῆσαι ὕδωρ, τῶν Μαθητῶν πρός ὠνήν ἀπελθόντων τροφῆς. Ζητεῖ οὖν

ὕδωρ ὁ Ἰησοῦς· ἡ δέ τό μή συγχρᾶσθαι τούτους προβάλλεται· ἔγνω γάρ αὐτόν καί ἀπό τῆς φωνῆς, καί ἀπό τῆς στολῆς. Ὁ δέ, ἀνάγει ταύτην, τό πνευματικόν ὕδωρ ἐνάγων εἰς μέσον, ὅ τό ἄφθονον δηλοῖ καί καθαρτικόν· τό γάρ Πνεῦμα, ὕδατι καί πυρί ἀεί παρεικάζει. Ἡ δέ γυνή, ἀσφαλῶς διακειμένη, τό μή ἔχειν ἐκεῖνον ὕδωρ τοιοῦτον, ἐκ τοῦ μή ἄντλημα ἐπιφέρεσθαι, καί τό φρέαρ εἶναι βαθύ, ἐπιλέγει. Εἶτα καί εἰς τόν προπάτορα Ἰακώβ ἀναφέρει τόν λόγον, ὅτι ἐκεῖνος τό φρέαρ ἀνώρυξε, καί αὐτός, καί τά θρέμματα αὐτοῦ ἐξ ἐκείνου ἔπιον, τό πλούσιον ἐντεῦθεν τῆς πηγῆς παριστάνουσα, καί τό ἄλλως εὔχρηστον καί ψυχρόν. Ὁ Χριστός μέντοι οὐ μείζονα ἑαυτόν λέγει τοῦ Ἰακώβ, ἵνα μή τήν γυναῖκα θροήσῃ· ἀλλά περί τοῦ ὕδατος πάλιν διαλέγεται, παριστῶν ἐντεῦθεν τό αὐτοῦ ὑπερφέρον, εἴπερ, ὁ πίνων ἐκ τοῦ ὕδατος ἐκείνου, διψᾷ οὐδαμῶς.

Ἀπαιτεῖ αὐτό ἡ γυνή, ὁ δέ, τόν ταύτης ἄνδρα λέγει φωνῆσαι, ὡς στερρότερας τῶν λόγων δεομένων φρονήσεως· ἡ δ' ἀπαρνεῖται μή ἔχειν ἄνδρα. Ὁ δέ πάντα εἰδώς, λέγει· Καλῶς εἶπας· πέντε γάρ ἔσχες, ὡς ὁ νόμος διακελεύεται· ὅν δέ νῦν ἔχεις ἕκτον, ὡς παρανόμως ἐκείνῳ συγγινομένη, οὐκ ἔστι σου ἀνήρ.

Τινές μέν οὖν πέντε ἄνδρας, τήν Πεντάβιβλον τοῦ Μωϋσέως εἶναι ἐνόμισαν, ἥν περ οἱ Σαμαρεῖται ἐδέχοντο· ἕκτον δέ, αὐτούς τούς λόγους τοῦ Χριστοῦ, οἵ οὐκ ἦσαν ἐκείνης ἔτι· οὔπω γάρ· ἡ χάρις ἐξεκέχυτο.

Ἄλλοι δέ, τούς δοθέντας πέντε νόμους παρά Θεοῦ· τόν ἐν Παραδείσῳ, τόν μετά τήν ἐξορίαν, τόν ἐπί Νῶε, τόν ἐπί Ἀβραάμ, καί τόν ἐπί Μωϋσέως· ἕκτον δέ, τό Εὐαγγέλιον, ὅν ἀκμήν οὐκ εἶχεν. Εἰσί δέ, οἵ καί τάς πέντε αἰσθήσεις λέγουσιν.

Ἀποκρίνεται αὐτῷ ἡ γυνή, Προφήτην αὐτόν ὀνομάζουσα· εἶτα ἐρωτᾷ αὐτόν καί περί τοῦ ὄρους, ποῦ δεῖ προσκυνεῖν, ἐν Σομώρ, ἤ ἐν Ἱεροσολύμοις; οὐ γάρ ἐνόμιζον οἱ Σαμαρεῖται, ὡς ἀτελεῖς, πανταχοῦ τόν Θεόν εἶναι· ἀλλ' ἐκεῖσε τόν Θεόν διατρίβειν μόνον, ὅπου καί προσεκύνουν, ἐν τῷ Γαριζίν δηλαδή ὄρει, διά τό ἐκεῖ δοθῆναι τάς εὐλογίας παρά Θεοῦ· ἤ διότι ἐκεῖ πρῶτος ὁ Ἀβραάμ θυσιαστήριον ἔπηξε τῷ Θεῷ. Ὡς καί Ἰουδαῖοι πάλι ἔλεγον· Ἐν Ἱεροσολύμοις δεῖ προσκυνεῖν μόνον τόν Θεόν· διό καί οἱ ἁπανταχοῦ, ἐν ταῖς Ἑορταῖς ἐκεῖσε συνήγοντο. Ὁ δέ Χριστός ἀποκρίνεται, ἐκ τῶν Ἰουδαίων, λέγων, τήν σωτηρίαν τοῦ κόσμου· πλήν, φησίν, ὁ Θεός ἄϋλός ἐστι, καί οἱ προσκυνεῖν ἀξιωθησόμενοι, οὐκ ἐν
292 θυσίαις, ὅσον οὔπω, αὐτόν προσκυνήσουσιν, ἀλλ' ἐν Πνεύματι καί ἀληθείᾳ· ἤ καί οὕτω, τόν Θεόν γνωρίσουσιν, οὐ μόνον, ἀλλ' ἐν Πνεύματι τῷ ἁγίῳ, καί τῷ Υἱῷ· οὗτος γάρ ἡ ἀλήθεια. Ἡ γυνή πάλιν λέγει· Ἀκούομεν ἐκ τῶν Γραφῶν, ὅτι Μεσσίας ἔρχεται, ὅς ἐστιν ὁ Χριστός. Ὁ δέ Ἰησοῦς φησίν. Ἐγώ εἰμι· τήν εὐγνωμοσύνην τῆς γυναικός ἐγνωκώς· ᾔδεισαν δέ καί οἱ Σαμαρεῖται περί τοῦ Μεσσίου, ἀπό τῶν Μωσαϊκῶν βιβλίων· ἐξαιρέτως

δέ ἀπό τοῦ, Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεός· καί ἄλλων πολλῶν.

Συντελεσθείσης δέ τῆς ὁμιλίας, ἔρχονται καί οἱ μαθηταί, καί τήν ἄκραν ἐκπλήττονται συγκατάβασιν, πῶς μετά γυναικός διαλέγεται· τέως γε μήν παρεκάλουν αὐτόν φαγεῖν, ἅμα μέν, διά τό κεκοπιακέναι, καί διά τό τοῦ καιροῦ καυσῶδες. Ὁ δέ, περί τῆς αἰωνίου τροφῆς αὐτοῖς διαλέγεται, τῆς τῶν ἀνθρώπων δηλαδή σωτηρίας· καί ὅπως δεῖ αὐτούς τούς τῶν Προφητῶν κόπους θερίσαι.

Ἀλλά τῆς γυναικός πρός τήν πόλιν φθασάσης, καί τά κατ᾽ αὐτήν ἀνειπούσης, ἅπαντες διεγείρονται, καί πρός Χριστόν ἔρχονται, πεισθέντες, ὡς οὐκ ἄν ἡ γυνή ἑαυτῆς κατηγόρησεν, εἰμή μέγα τι ἔγνω· καί δέησιν ἐκχέαντες, αὐτόν μεῖναι παρ᾽ αὐτοῖς, ἐφ᾽ ἡμέρας δυσί πείθουσι· καί μείνας, πάμπολλα ἐνήργησε θαύματα, ἅ διά τό πλῆθος τοῖς Εὐαγγελισταῖς οὐκ ἐγράφησαν.

Αὕτη δέ ἐστιν ἡ Σαμαρεῖτις, ἡ ὕστερον ὑπό Χριστοῦ Φωτεινή κατονομασθεῖσα, ἥτις καί τόν τοῦ μαρτυρίου στέφανον ἐπί Νέρωνος ἀνεδήσατο, μετά τῶν ἑπτά ταύτης υἱῶν, μετά πολλή κάκωσιν, καί ξεσμούς καί μαστῶν ἐκκοπήν, καί θλασμόν χειρῶν, καί καλάμων λεπτῶν κατά τῶν ὀνύχων εἰσβολήν, καί μολύβδου κατάποσιν, καί ἄλλων βασάνων ἀπείρως ἐξέτασιν.

Ἰστέον δέ, ὡς τό τοῦ φρέατος ἐκείνου στόμιον, ὁ Βασιλεύς Ἰουστινιανός ἐκεῖθεν ἐντίμως μετακομισάμενος, εἰς τό τοῦ Θεοῦ Λόγον ἀνάκτορον, τόν μέγαν,

λέγω, τῆς ἁγίας Σοφίας νεών, ἐνέθετο ἐπί φρέατι· ἀλλά καί τόν λίθον, ἐφ' ᾧ ὁ Χριστός καθεσθείς, τῇ Σαμαρείτιδι διελέγετο. Καί νῦν εἰς δεῦρο καί ἀμφότερα διαμένουσι πρό τοῦ Νάρθηκος ἐξ ἀνατολῶν τῷ ναῷ εἰσιόντι, πρός τά εὐώνυμα, πᾶσαν καί παντοίαν νόσον ἰώμενα· μάλιστα δέ οἷς ἐκ πυρετῶν πάσχειν συμβαίνει, καί ῥίγους φλογίζοντος ἀλεξιφάρμακα γίνονται.

Ταῖς τῆς σῆς Μάρτυρος Φωτεινῆς πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς, Ἀμήν.

Β΄

Τῇ πέμπτῃ Κυριακῇ ἀπό τοῦ Πάσχα ἐπιτελοῦμεν τήν τῆς Σαμαρείτιδος ἑορτήν· ἐπειδή φανερά ἐν αὐτῇ ὁ Χριστός Μεσσίαν ἑαυτόν ὡμολόγησεν, ὁποῦ θέλει νά εἰπῇ ἀλειμμένος· μεσσά γάρ παρ' Ἑβραίοις τό ἔλαιον· ὅτι οἱ Βασιλεῖς, καί οἱ Ἱερεῖς, καί οἱ Προφῆται, μέ τό τῆς σκηνῆς ἔλαιον, ἤτοι τό παρά Θεοῦ διωρισμένον ἠλείφοντο, ἤγουν ἐχρίοντο· καί χρίσεις, λέγει, τόν Ἐλισσαιέ υἱόν Σαφάτ, ἀντί σοῦ εἰς Προφήτην· ὥστε τά τρία ταῦτα ὀνόματα, τό Μεσσίας τό Ἑβραϊκόν, καί τά δύω, ἤτοι τό, Χριστός, καί τό ἠλειμμένος, τά ἑλληνικά, ἕν καί τό αὐτό νόημα ἔχουσι. Διηγεῖται λοιπόν ὁ Εὐαγγελιστής Ἰωάννης, ὅτι φεύγων ὁ Χριστός ἀπό τήν Ἰουδαίαν, καί θέλων νά ὑπάγῃ εἰς τήν Γαλιλαίαν, ὁ δρόμος τόν ἔφερε,

νά περάσῃ ἀπό τήν Σαμάρειαν· καί ὅτι ἀπερνῶν ἐπῆγεν εἰς πόλιν Σιχάρ, τήν ὁποίαν ὁ Πατριάρχης Ἰακώβ, ἄφησε ξεχωριστήν κληρονομίαν, εἰς τόν ἠγαπημένον του υἱόν τόν Ἰωσήφ. Εἰς τήν ὁποίαν ἦτον καί πηγάδι παλαιόθεν ἀνεῳγμένον, ἀπό τόν ἴδιον Ἰακώβ· καί ἐκεῖ ἐκάθισεν, ὡς διά νά ἀναπαυθῇ ἀπό τόν κόπον τοῦ δρόμου, τό δέ κυριώτερον διά νά κάμῃ τό θαυμαστόν κυνῆγι ὁποῦ ἔκαμεν. Ὅτι ἐκεῖ ὁποῦ ἐκάθητο μόνος (ἐπειδή οἱ Μαθηταί ἐπῆγαν εἰς τήν πόλιν διά νά ἀγοράσουν τροφάς), ἰδού καί ἔρχεται ἀπό τήν Σαμάρειαν, γυνή διά νά πάρῃ νερόν· ὁ Ἰησοῦς ἐζήτησεν ἀπό αὐτήν νά τῷ δώσῃ ὕδωρ νά πίῃ ἐκείνη τῷ ἀπεκρίθη καί πῶς σύ Ἰουδαῖος ὤν, ζητεῖς ἀπό ἐμέ ὕδωρ νά πίῃς, ὁποῦ ἐγώ εἶμαι Σαμαρείτις γυνή· ὅτι, λέγει, τούς Σαμαρείτας, οἱ Ἰουδαῖοι ὡς βδελυκτούς τούς ἀποστρέφονται· καί πρέπει νά εἰποῦμεν τήν αἰτίαν διότι οὕτω τούς στοχάζονται· μόλα τά ταῦτα θά ἐξέλθωμεν ὀλίγον ἀπό τό προκείμενον. Ἀπ' ἀρχῆς οἱ Ἑβραῖοι ὁποῦ κατῴκουν τούς τόπους τῆς Σαμαρείας, δέν ὠνομάζοντο Σαμαρεῖται, ἀλλά Ἰσραηλῖται· ἐπειδή δέ εἰς εἰδωλολατρίας καί ἄλλας παρανομίας ἐξέκλιναν, παρεχώρησεν ὁ Θεός, καί ἦλθε τό ἔθνος τῶν Ἀσσυρίων, καί τούς ἐσήκωσε σύν γυναιξί καί τέκνοις, καί τούς μετέστησεν εἰς τούς ἐδικούς των τόπους. Εἶτα ὁ Βασιλεύς τῶν Ἀσσυρίων, διά νά μή μένῃ ἀδούλευτος ἡ γῆ, ἔστειλεν ἐκεῖθεν ἀπό τούς ἐθνικούς, νά κατοικήσουν εἰς τούς τόπους τῶν Ἰσραηλιτῶν· τούτους θείᾳ παραχωρήσει, κατέτρωγον οἱ λέοντες,


καί ἄλλα θηρία, καί τούς ἠφάνιζον. Ταῦτα μανθάνων ὁ Βασιλεύς, ἐζήτει νά μάθῃ τί τό αἴτιον; οἱ ἐκεῖ Ἰσραηλῖται τῷ ἀπεκρίθησαν, ὅτι μέ τό νά μή γνωρίζουν τόν Θεόν τοῦ τόπου, παθαίνουν τήν τοιαύτην φθοράν. Ὅθεν ἔστειλεν ἐκεῖθεν ἕνα Ἱερέα νά τούς διδάξῃ τό κρίμα τοῦ ἀληθινοῦ Θεοῦ. Λοιπόν ἐδέχθησαν τήν περιτομήν, καί μόνα τά πέντε βιβλία τοῦ Μωϋσέως, τάς δέ λοιπάς Γραφάς ὄχι. Λοιπόν οἱ Ἑβραῖοι, ὅπου κατήγοντο ἀπό τό γένος τοῦ Ἀβραάμ, ὅταν ἐγύρισαν ἀπό τήν αἰχμαλωσίαν, δέν ἐδέχθησαν τούτους διά ἀδελφούς, διά τήν ἀλλοτριότητα τοῦ γένους, καί ὅτι ἐλάτρευον τά εἴδωλά των, καί τάς Ἁγίας Γραφάς ὅλας δέν ἐδέχοντο. Καί ἀπό τότε καί εἰς τό ἑξῆς τούς ἀπέφευγον ὡς μιαρούς, καί ὡς λέγει ρητῶς «οὐ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις». Τοῦτο λοιπόν ἠξεύρουσα ἡ γυνή τρόπον τινά ἀποροῦσα, ἠρώτησε, πῶς Ἰουδαῖος ὤν, ἐζήτησεν ἀπό ἐκείνην ὕδωρ Σαμαρείτιδα οὖσαν· ὁ δέ Κύριος, ἀποκριθείς τῇ εἶπεν, ὅτι ἄν ἤξευρε μέ ποῖον ὁμιλεῖ, ἐκείνη μάλιστα ἤθελε ζητήσει ἀπό αὐτόν
296 νά τῇ δώσῃ ὕδωρ ζῶν, (μέ τό ὁποῖον ἐννόει τήν Χάριν τοῦ Παναγίου Πνεύματος), τό ὁποῖον, ὅποιος τό πίει, πλέον δέν διψᾷ εἰς τόν αἰῶνα, ἀλλά γίνεται εἰς αὐτόν πηγή ὕδατος ἀλλομένου, δηλαδή πληθυνομένου καί πλημμυροῦντος. Ἡ γυνή τά ἐγκώμια ἐκεῖνα τά θαυμαστά ἀκούσασα, τοῦ νοητοῦ ἐκείνου ὕδατος, καί νομίσασα, ὅτι διά αἰσθητόν ἔλεγεν ὕδωρ, Κύριε, ἀπεκρίθη, δός μοι τό ὕδωρ αὐτό ὅπου λέγεις, διά νά μή διψῶ πλέον εἰς

τό ἐξῆς, μηδέ νά ἔρχωμαι πλέον ἐδῶ νά ἀντλῶ. Ὕπαγε, κράξαι τόν ἄνδρα σου, τῇ εἶπεν ὁ Χριστός καί ἔλα ἐδῶ. Ἡ γυνή ἀπεκρίθη, πώς δέν ἔχει ἄνδρα· καί ὁ Κύριος τῇ λέγει, καλῶς εἶπες, πώς δέν ἔχεις ἄνδρα, διότι ἀφοῦ ἐπῆρες πέντε, οὗτος, ὅν τώρα ἔχεις, ἀνήρ σου δέν εἶναι. Καί ταῦτα ἀνελπίστως ἀκούσασα, ἀπό ἕναν ξένον ἄνθρωπον, ἐξεπλάγη, καί ἀπεφάσισε, πώς εἶναι χωρίς ἄλλο Προφήτης· «Κύριε θεωρῶ ὅτι Προφήτης εἶ σύ». Ἔπειτα, ἐπειδή περί τοπικῆς λατρείας τοῦ Θεοῦ ἡ γυνή ἐκίνησε λόγον, ὁ Χριστός τῇ ἀπεκρίθη, ὅτι ὁ Θεός εἶναι πνεῦμα καί ὅσοι προσκυνοῦσι τόν Θεόν, δέν περιγράφουσιν εἰς τόπους τήν λατρείαν τοῦ Θεοῦ, ἀλλ' ἐν πνεύματι καί ἀληθείᾳ προσκυνοῦσι τῷ Θεῷ καί Πατρί. Εἰς τήν πάνσοφον ταύτην διδασκαλίαν μή ἔχουσα, τί νά ἀποκριθῇ ἡ γυνή, ἠξεύρω εἶπε, πώς ἔρχεται Μεσσίας ὁ λεγόμενος Χριστός· καί ὅταν ἐκεῖνος ἔλθῃ, θέλει μᾶς διδάξει τά πάντα. Πόθεν ἡ γυνή ἡ Σαμαρείτις ἤξευρε πώς ἔρχεται Μεσσίας; Εἴπομεν ὅτι ἐξ ἀρχῆς τά πέντε μόνα βιβλία τοῦ Μωϋσέως ἐδέχθησαν οἱ Σαμαρεῖται· τήν Γένεσιν, τήν Ἔξοδον, τό Λευϊτικόν, τούς Ἀριθμούς, καί τό Δευτερονόμιον· λοιπόν εἰς τό δέκατον ὄγδοον κεφάλαιον τοῦ Δευτερονομίου, γράφει ὁ Προφήτης Μωϋσῆς λέγων, ὅτι «Προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμέ, ἀναστήσει Κύριος ὁ Θεός σου· αὐτοῦ ἀκούσεσθε»· καί πάλιν κατωτέρω «Προφήτην ἀναστήσω αὐτοῖς, ἐκ μέσου τῶν ἀδελφῶν αὐτῶν, ὥσπερ σέ, καί δώσω τό ῥῆμά μου, ἐν τῷ

στόματι αὐτοῦ, καί λαλήσει αὐτοῖς, καθότι ἄν ἐντείλωμαι αὐτῷ· καί ἄνθρωπος, ὅς ἄν μή ἀκούσῃ τῶν λόγων αὐτοῦ, ὅσα ἄν λαλήσῃ ὁ Προφήτης, ἐπί τῷ ὀνόματί μου ἐγώ ἐκδικήσω ἐξ αὐτοῦ». Λοιπόν, ἐπειδή οἱ Σαμαρεῖται ἐδέχοντο τά βιβλία τοῦ Μωϋσέως, ἐκεῖθεν ἤξευρον, καί διά τόν προφήτην ἐκεῖνον, ὅπου εἰς τό Δευτερονόμιον ἐπροφήτευσεν ὁ Μωϋσῆς, τόν ὁποῖον Μεσσίαν ὠνόμαζον, καθώς καί εἰς τόν Πρόδρομον ἀποστείλαντες ἠρώτων ἄν αὐτός ἦτον, Μεσσίας· καί ἀπεκρίθη, ὅτι δέν ἦτον ἐκεῖνος, ὁ Προσδοκώμενος Προφήτης, ἤτοι ὁ Μεσσίας· καί διά τοῦτο καί ἡ γυνή, εἶπεν, ὅτι ἔρχεται Μεσσίας, καί ἐκεῖνος θέλει διδάξει αὐτούς τά πάντα. Καί τότε δή ἐν καιρῷ, βλέπων ὁ Κύριος τήν εὐγνωμοσύνην, καί τήν καλήν διάθεσιν τῆς γυναικός, ἐγώ, λέγει, εἶμαι ἐκεῖνος ὁ λαλῶν μετά σοῦ, καί μέ τόν ὁποῖον σύ ἠξιώθης νά λαλῇς. Ἐταράχθησαν οἱ λογισμοί τῆς γυναικός, ἀκούσασα ἔξαφνα, ὅτι οὗτος ὁ λαλῶν μετ' αὐτῆς εἶναι ἐκεῖνος ὁ τοσούτους αἰῶνας προσδοκώμενος ἀπό τό δωδεκάφυλον τοῦ Ἰσραήλ, κατ' ἐξοχήν καλούμενος Προφήτης, ὁ Μεσσίας, ὁ Χριστός. Ὅθεν καί τρέχουσα νά γένῃ κήρυξ εἰς τήν πόλιν, τοῦ τόσον μυριοποθήτου νέου ἀκούσματος, ἀπό τήν βίαν της, ἀφῆκεν εἰς τό πηγάδι τήν στάμναν της, καί ἔδραμε λέγουσα, δεῦτε ἴδετε ἄνθρωποι, ὁποῦ μοῦ εἶπεν ὅσα ἐποίησα· καί τί νά λέγω τά παλλά, δεῦτε ἴδετε τόν προσδοκώμενον Μεσσίαν. Ἀλλά διά νά παραδράμω ὅσα ὁ Κύριος πρός τούς Μαθητάς εἶπε, περί τῆς

Οὐρανίου Τροφῆς, ὁποῦ τόν παρεκινοῦσαν διά νά φάγῃ, διηγεῖται ἀκολούθως ὁ θεῖος Εὐαγγελιστής, ὅτι ἀκούσαντες οἱ Σαμαρεῖται τό κήρυγμα τῆς γυναικός, ἔδραμον πλῆθος μικροί καί μεγάλοι, καί ἄνδρες καί γυναῖκες, εἰς τό νά ἰδοῦν καί νά ἀκούσουν τό ξένον θαῦμα· ἀπό τούς ὁποίους πλῆθος πολύ ἐπίστευσαν εἰς αὐτόν, καί τόν παρεκάλεσαν νά μείνῃ καμπόσον μέ αὐτούς, καί ἔμεινεν ὁ φιλάνθρωπος Κύριος μέ αὐτούς δύω ἡμέρας, καί ἀκούοντες καί βλέποντες τά θαυμάσια ὁποῦ ἔκανεν εἰς τάς δύω ἡμέρας, ἐπίστευσαν ἀκόμη πολλοί περισσότεροι, ὁμολογοῦντες καί κηρύττοντες αὐτόν Χριστόν καί Σωτῆρα τοῦ Κόσμου. Αὐτήν τήν Σαμαρείτιδα, ὠνόμασεν ὁ Χριστός ὕστερον, Φωτεινήν, ἡ ὁποία καί ὑπέρ Χριστοῦ ἐμαρτύρησεν, ἐπί τοῦ Νέρωνος, μετά τῶν ἑαυτῆς ἑπτά υἱῶν, διά πολλῶν καί ποικίλων σκληροτάτων, καί πικροτάτων βασάνων ἀθλήσασα. Ἔστω δέ καί τοῦτο εἰς εἴδησιν, ὅτι τό στόμα ἐκείνου τοῦ πηγαδίου, ὁ Βασιλεύς Ἰουστινιανός τό ἔφερε μέ τιμήν ἀπό τήν Σαμάρειαν εἰς τήν Κωνσταντινούπολιν, εἰς τόν μέγαν Ναόν τῆς Ἁγίας Σοφίας, καί τό ἔβαλεν ἐπάνω εἰς τό φρέαρ, ὁποῦ ἦτον ἔξω εἰς τόν Νάρθηκα. Ὡσαύτως ἔφερε καί τόν λίθον ἐκεῖνον, ἐπάνω εἰς τόν ὁποῖον ὁ Χριστός καθήμενος διελέγετο μέ τήν Σαμαρείτιδα, καί παντοίων νόσων καί παθῶν, ἦσάν ποτε θεραπευτικά.

Ταῖς τῆς σῆς Μάρτυρος Φωτεινῆς πρεσβείαις Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.



ΚΥΡΙΑΚΗ ΤΟΥ ΤΥΦΛΟΥ

(ΣΤ΄ ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ ἕκτῃ ἀπό τοῦ Πάσχα, τό εἰς τόν ἐκ γενετῆς Τυφλόν ἑορτάζομεν, τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, θαῦμα.

Α΄

Καί τό θαῦμα τοῦτο ἐξ ὑγροῦ διεπράχθη, καθά καί τό τῆς Σαμαρείτιδος, καί τό τοῦ Παραλύτου· γέγονε δέ οὕτω. Τοῦ Χριστοῦ διαλεγομένου τοῖς Ἰουδαίοις, καί ἑαυτόν ἴσον ἀποδεικνύοντος τῷ Πατρί, καί, πρίν Ἀβραάμ γενέσθαι, ἐγώ εἰμι, λέγοντος, ἐκεῖνοι λίθους κατ᾽ αὐτοῦ βάλλουσιν· ὁ δέ, ἀναχωρῶν ἐκεῖθεν, εὑρίσκει τόν Τυφλόν παραπαίοντα· ἦν δέ οὕτω γεννηθείς, τόν τύπον καί τά κοῖλα ἔχων μόνον τῶν ὀφθαλμῶν. Εὑρών οὖν αὐτόν ὁ Σωτήρ οὕτως ἔχοντα, ἐρωτᾶται παρά τῶν Μαθητῶν (ἀκηκοότων ἐν τῷ εἰς τόν Παράλυτον· Ἴδε ὑγιής γέγονας, μηκέτι ἁμάρτανε· καί ὅτι, Ἁμαρτία γονέων ἐπί τέκνα)· Ῥαββί, τίς ἥμαρτεν, οὗτος ἤ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλός γεννηθῇ; Ἄλλως τε, καί δόξα ἐπικούρειός τις ἐκράτει, τάς ψυχάς προϋπάρχειν, καί ἁμαρτησάσας, ἀΰλως κατάγεσθαι εἰς τά σώματα· ἅπερ ἅπαντα ἀναιρῶν ὁ Χριστός,

ἔφησεν· Οὐ διά ταῦτα, ἀλλ' ἵνα φανερωθῇ τά ἔργα τοῦ Θεοῦ, ἤγουν ἐμοῦ· οὐ γάρ περί τοῦ Πατρός ὁ λόγος· τό δέ, ἵνα, τῆς ἀποφάσεώς ἐστιν, οὐ τῆς αἰτίας.

Καί τοῦτο εἰπών ὁ Χριστός, πτύσας χαμαί, καί πηλόν ποιήσας, ἐπέχρισε τούς τύπους τῶν ὀφθαλμῶν αὐτοῦ, καί πρός τήν τοῦ Σιλωάμ πηγήν ἀπελθεῖν, καί νίψασθαι ἐγκελεύεται· ἵνα δείξῃ, ὅτι αὐτός ἐστιν ὁ κατ' ἀρχάς χοῦν λαβών ἀπό τῆς γῆς, καί πλάσας τόν ἄνθρωπον. Ἐπεί δέ πάντων ὁ ὀφθαλμός τῶν ἐν τῷ σώματι κυριώτερον, τοῦτον πλάττει μή ὄντα, δεικνύων, ὅτι καί τῇ ψυχικῇ δυνάμει κίνησιν αὐτός ἐστιν ὁ παρέχων. Οὐκ ἐχρήσατο δέ ὕδατι, ἀλλά πτύσματι, ἵνα γνώριμον εἴη, ὡς ἡ χάρις ἅπασα ἀπό τοῦ ἐμπτύσαντος στόματος ἦν· καί ὅτι πρός τόν Σιλωάμ αὐτόν ἀποπέμπειν ἔμελλε. Νίψασθαι δέ αὐτόν προτρέπει, ἵνα μή τις τῇ ἐκεῖθεν γῇ καί τῷ πηλῷ δώῃ τήν θεραπείαν. Στέλλει δέ αὐτόν πρός τόν Σιλωάμ, ἵνα πολλούς ἔχῃ τῆς ἰάσεως μάρτυρας· πολλοῖς γάρ ἄν συνήντησεν ἀπιών, κεχρισμένος πηλῷ τά ὄμματα. Φασί δέ τινες, ὡς νιψάμενος, οὐκ ἀπεβάλλετο τόν ἐκ τοῦ πτύσματος πηλόν, ἀλλ' αὐτός ὁ πηλός, τῇ προσβολῇ τοῦ ὑγροῦ, πρός ὀφθαλμῶν πλάσιν μετεσχηματίζετο.

Σιλωάμ δέ, ἀπεσταλμένος ἑρμηνεύεται· ἡ γάρ κολυμβήθρα αὕτη, ἔξω τῆς πόλεως Ἱερουσαλήμ ἐτύγχανεν. Ἐπί δέ Ἐζεκίου, πολεμίων παρακαθισάντων τήν πόλιν, καί τόν Σιλωάμ κατασχόντων, ἀνεχαιτίσθη τό

ὕδωρ ἐκεῖθεν. Πρίν ἤ δέ φρέατα καί λάκκους ὀρύξαι τούς ἔνδον, εἰς ὑποδοχήν ὕδατος, εἴ τις, κελεύσει τοῦ Προφήτου Ἡσαΐου, ἐστέλλετο, τό ὕδωρ πάλιν ἀθρόον ἐξήρχετο, καί ὑδρεύετο· εἰ δέ τις ἐξ ἑαυτοῦ, ἤ καί πολέμιος, ἐπείχετο τοῦ ὕδατος ἔκροια· καί ἐξ ἐκείνου οὕτως ἐγίνετο. Ἵνα τοίνυν δείξῃ καί ὁ Χριστός, ὅτι ἐκ Θεοῦ καί αὐτός, διά τοῦτο τόν Τυφλόν ἀποστέλλει ἐκεῖ, καί τό φῶς αὐτίκα ἐφέπεται. Τισί μέντοι ἔδοξεν ἀπεσταλμένον τόν Σιλωάμ ἑρμηνεύεσθαι, καί διά τόν παρόντα Τυφλόν, ἀποσταλέντα παρά Χριστοῦ.

Ὀμματοῦται τοίνυν, νιψάμενος ὁ Τυφλός, ἀῤῥήτῳ τινί δυνάμει, μηδ' αὐτοῦ τοῦ παθόντος τό μυστήριον ἐξιδόντος. Οἱ δέ γειτνιῶντες αὐτῷ, καί ἄλλως γνώριμοι, κατιδόντες αὐτόν ἐξεπίτηδες ἀναβλέψαντα, ἀμφιβάλλοντες ἦσαν· ἐκεῖνος δ' οὖν ὡμολόγει, ὁ πρώην εἶναι Τυφλός· καί τό αἴτιον τῆς ὁράσεως ἐρωτώμενος, ἰατρόν τοῦ πάθους τόν Χριστόν ἀνεκήρυσσε. Τῶν οὖν Φαρισαίων τό παράδοξον ἀκηκοότων σημεῖον, πάλιν ὁ Σωτήρ βλασφημεῖται, ὡς τό Σάββατον μή τηρῶν· ἐν Σαββάτῳ γάρ, ὡς ἔοικε, καί τό κατά τόν Τυφλόν διεπράχθη. Σχίσμα τοίνυν γίνεται τούτων μεταξύ, τῶν μέν λεγόντων, ἐκ Θεοῦ εἶναι τόν Ἰησοῦν, διά τά γενόμενα θαύματα· τῶν δέ, μή ἀπό Θεοῦ, ὅτι τό Σάββατον οὐ τηρεῖ.

Οἱ οὖν ἀγαθήν περί αὐτοῦ δόξαν ἔχοντες, τόν Τυφλόν ἐρωτῶσι· Σύ τί λέγεις περί αὐτοῦ; Ὁ δέ, Προφήτην τοῦτον ἀνακηρύσσει· ὅ δή παρ' ἐκείνοις ἦν

τιμιώτερον. Οἱ δέ πάλιν διαπιστοῦσιν, ὅτι τυφλῷ γε ὄντι, τήν θεραπείαν ὁ Χριστός ἐχαρίσατο. Ἀμέλει, καί τούς γονεῖς αὐτοῦ μεταστέλλονται, μή τοῖς γείτοσιν ἴσως πιστεύοντες· ὅθεν καί μᾶλλον αὐτό συσκιάσαι θέλοντες, πλεῖον ποιοῦσι κατάδηλον, τῶν γεννητόρων ἅπαντα διομολογούντων, κἄν διά τό μή ἀποσυνάγωγοι γενέσθαι, εἰς τήν ἐκείνου ἡλικίαν τήν πρᾶξιν ἀνάγουσιν. Ἀλλά καί πάλιν πρός τόν Τυφλόν λέγουσι· Δός δόξαν τῷ Θεῷ, ὅτι ἐκεῖθεν ἡ ἴασις δῆθεν, οὐχ ὑπό τοῦ Χριστοῦ· ἁμαρτωλός γάρ ἐστιν, ὅτι λύει τό Σάββατον. Ὁ δέ, ἔργοις δηλῶσαι θέλων, ὅτι Θεός ἐστιν, οὐκ οἶδα, φησίν· ἐν ἐπίσταμαι, ὅτι, τυφλός ὤν, δι' αὐτοῦ βλέπω.

Πάλιν οὖν εἶπον αὐτῷ· Πῶς ἤνοιξέ σου τούς ὀφθαλμούς; Ὁ δ' ἀχθόμενος, οὐ κατά λεπτόν λέγει, ἀλλά συνιστᾷ, ὅτι, εἰ μή ἀπό Θεοῦ ἦν, οὐκ ἄν τοιοῦτο σημεῖον ἐποίησε. Καί πρῶτον μέν, ὑβρίζεται παρ' ἐκείνων, ὡς ὁμολογήσας μαθητής εἶναι ἐκείνου· καί ὅτι εἶπεν· Οὐδείς ἀνέῳξεν ὀφθαλμούς τυφλοῦ γεγεννημένου· τυ-
304 φλούς γάρ καί ἄλλοι ὠμμάτωσαν· γεγεννημένου δέ τυφλοῦ, οὐδείς. Ἐμπαίζοντες τοίνυν αὐτόν, πόῤῥω τῆς συναγωγῆς ἔβαλον. Μετά δέ ταῦτα, εὑρίσκει αὐτόν ὁ Ἰησοῦς, καί λέγει αὐτῷ· Σύ πιστεύεις εἰς τόν Υἱόν τοῦ Θεοῦ; Ὁ δέ, μαθών, ὅς τίς ἐστιν ὁ μετ' αὐτοῦ λαλών, καί ὁρώμενος δι' αὐτοῦ (οὐ γάρ ᾔδει αὐτόν πρότερον, ἅτε τυφλός ὤν), προσεκύνησεν αὐτῷ, καί μαθητής αὐτοῦ ἐχρημάτισε, τήν εὐεργεσίαν ἀνακηρύττων.

Ῥηθείη δ' ἄν καί ἀναγωγικῶς. Τυφλός μέν καί ὁ ἐξ ἐθνῶν λαός, ὅν τινα παράγων, ἀντί τοῦ, ἐν τῇ γῇ διατρίβων, οὐκ ἐν οὐρανῷ, εὗρεν ὁ Χριστός. Ἤ καί ὅτι, διά τόν Ἑβραϊκόν ἦλθε λαόν, παροδικῶς δέ διέβη καί εἰς τά ἔθνη. Καί πτύσας χαμαί, καί πηλόν ποιήσας, ἔχρισεν, ἀντί τοῦ ἐδίδαξεν αὐτούς πρῶτον· ὅτι ὡσεί σταγών κατέβη ἐπί τῆς γῆς, καί ἐσαρκώθη ἐκ τῆς ἁγίας Παρθένου· εἶτα, καί τό θεῖον Βάπτισμα παραδέδωκεν, ὅ δή ἐστίν ὁ Σιλωάμ. Ἔπειτα ὁ ἐξ ἐθνῶν Χριστιανικός λαός, ὑπέρ Χριστοῦ πρός πάντας παῤῥησιάζεται, καί διώκεται, καί μαρτυρεῖ, καί ὕστερον παρ' αὐτοῦ ἀνακηρύττεται καί δοξάζεται.

Τῷ ἀπείρῳ ἐλέει σου, φωτοδότα Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Β΄

Τῇ ἕκτῃ Κυριακῇ ὕστερον ἀπό τό Πάσχα, ἑορτάζομεν τό ἐξαίσιον θαῦμα, ὁποῦ ἐτέλεσεν ὁ Ἰησοῦς Χριστός, εἰς τόν ἐκ γενετῆς τυφλόν. Ἔγινε δέ αὐτό τοιουτοτρόπως. Φεύγων ὁ Ἰησοῦς ἀπό τό Ἱερόν, διά νά παραμερίσῃ ἀπό ἐκείνους ὁποῦ ὥρμησαν νά τόν λιθοβολίσουν, μέ τό νά εἶπεν εἰς τούς Ἰουδαίους, πώς εἶναι Υἱός Θεοῦ, καί ἀρχαιότερος ἀπό τόν Ἀβραάμ, ἐσυναπάντησεν ἕν ὁποῦ ἦτον τυφλός ἐκ γενετῆς· καί βλέποντες οἱ Μαθηταί του,


πώς μέ προσοχήν ἐκοίταζε τόν ῥηθέντα τυφλόν, ἔλαβον ἐκ τούτου ἀφορμήν νά τόν ἐρωτήσουν, ἀπό ποίαν αἰτίαν ἐγεννήθη οὗτος ὁ ἄνθρωπος τυφλός, τάχα ἀπό ἁμαρτίας ἐδικάς του, ἤ ἀπό ἁμαρτίας τῶν γονέων του; ἀλλά ποίας ἁμαρτίας ἠδύνατο νά πράξῃ, ἐκεῖνος ὁποῦ ἀκόμη δέν ἐγεννήθη; ἀνόητος φαίνεται μία τοιαύτη ἐρώτησις. Πολλοί ἀπό τούς φιλοσόφους τῶν Ἑλλήνων, ἤγουν οἱ λεγόμενοι Πυθαγορικοί, καί οἱ Πλατωνικοί εἶχον μίαν πλάνην, ὅτι αἱ ψυχαί τῶν ἀνθρώπων, πρό τοῦ νά ἔμβουν εἰς τά ἀνθρώπινα σώματα, ἦσαν ψυχαί μοναχαί, καί ἐζοῦσαν εἰς τόν παρ' αὐτοῖς λεγόμενον νοητόν κόσμον. Ἐκεῖ δέ ζῶσαι καί πολιτευόμεναι, ἡμάρτανον· ὅθεν ἀπό θείαν δίκην κατεδικάζοντο διά τάς ἁμαρτίας των, καί ἄλλαι μέν ἔμβαινον μέσα εἰς ἀνθρώπινα σώματα, ἄλλαι μέσα εἰς κτήνη, ἤγουν σκύλους καί ὄνους, καί ἄλλαι μέσα εἰς φυτά, κατά τά ἁμαρτήματα ὁποῦ ἔπραξαν, καί ἡ πλάνη αὕτη ὠνομάζετο Μετεμψύχωσις, καί μεταγγισμός ψυχῶν. Τινές λοιπόν τῶν Διδασκάλων, θέλουσιν ὅτι καί οἱ
306 Μαθηταί νά ἐφρόνουν ἐκείνην τήν μυθολογίαν, καί διά τοῦτο ἠρώτησαν τόν Χριστόν, ἄν καί πρό τοῦ νά γεννηθῇ σαρκικῶς, ὡς ψυχή μόνη ἦμαρτε, καί ἐγεννήθη τυφλός. Ἄλλοι δέ λέγουσι, καί ἴσως ἀληθέστερον, ὅτι τό ἀνόητον τοῦτο δόγμα τῆς μετεμψυχώσεως, δέν εὑρίσκετο εἰς τό γένος τῶν Ἑβραίων, καί μάλιστα ἦτον μακράν ἀπό τούς Μαθητάς τοῦ Χριστοῦ, ὡσάν ὁποῦ ἦτον ἰδιῶται καί ψαράδαι, λέγουσι δέ ὅτι, ἐπειδή ἤκουσαν τόν Χριστόν

ὁποῦ εἶπεν εἰς τόν Παραλυτικόν «ἴδε ὑγιής γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μή χεῖρον τί σοι γένηται» ἐσυμπέραναν, ὅτι ἡ ἀσθένεια τῆς παραλυσίας του, ἀπό ἁμαρτίας τοῦ συνέβη. Βλέποντες δέ ὕστερον τόν τυφλόν, ἦλθον εἰς ἀπορίαν, καί τρόπον τινά εἶπον, ἔστω ὁ παραλυτικός ἥμαρτε, καί ἐπαιδεύθη μέ τήν παραλυσίαν του, ἀλλ' ἐδῶ εἰς τόν τυφλόν τοῦτον, τίς ἥμαρτεν ἵνα τυφλός γεννηθῇ; οὗτος αὐτός ἥμαρτε; καί πῶς ὁποῦ ἀκόμη δέν εἶχε γεννηθῇ, καί ἐγεννήθη τυφλός; ἀλλά τάχα ἀπό ἁμαρτίας τῶν γονέων του; Ἀλλ' ὁ Θεός μέ τά στόματα τῶν Ἁγίων του Προφητῶν τοῦ Μωϋσέως, καί τοῦ Ἰεζεκιήλ, ἀποφασίζει, ὅτι υἱός, διά τάς ἁμαρτίας τοῦ πατρός του νά μή κολάζεται, ἔξω μόνον, ἄν καί αὐτός πράττῃ τά ἴδια. Λοιπόν, πόθεν εἰς τοῦτον αὕτη ἡ τύφλωσις; λοιπόν εἶχε τόπον ἡ ἀπορία καί ἡ τοιαύτη ἐρώτησις τῶν Μαθητῶν. Ἀγκαλά δέ καί εἶναι πολλά πιθανόν πώς οἱ Μαθηταί τοῦ Χριστοῦ, καί ὡς Ἰουδαῖοι, καί ὡς ἁλιεῖς, δέν εἶχον εἴδησιν ἀπό τούς ἑλληνικούς μύθους, ἀλλά πολλοί ἀπό τούς παλαιούς Χριστιανούς, καί μάλιστα ἐκ τῶν ἐπισήμων, ὅτι εἴδους ἐστάθη ἐκεῖνος ὁ μέγας Διδάσκαλος Ὠριγένης, καί Δίδυμος ὁ Ἀλεξανδρεύς, καί ἄλλοι, ἐφρόνησαν τήν προϋπαρξιν τῶν ψυχῶν, τούς ὁποίους ὅλους ἀναθεμάτισεν ἡ Ε΄ Ἁγία καί Οἰκουμενική Σύνοδος. Ἀπεκρίθη λοιπόν ὁ Χριστός εἰς τήν ἐρώτησιν τῶν Μαθητῶν, ὅτι οὔτε ὁ τυφλός ἥμαρτεν, ὡσάν ὁποῦ δέν εἶχε γεννηθῇ ἀκόμη εἰς τόν κόσμον, οὔτε οἱ γονεῖς αὐτοῦ· ὄχι πώς

οὗτοι ἦτον ἀναμάρτητοι, ἀλλά πώς δέν ἥμαρτον τοιαύτην ἁμαρτίαν, διά νά γεννήσωσι τυφλόν υἱόν· ἀλλ' ἐγεννήθη εἶπε τυφλός, διά νά φανερωθοῦν τά ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ, ἤγουν ἐμοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ὄχι δέ καθ' αὐτό, ἤτοι διά νά δείξῃ ὁ Χριστός τήν θεϊκήν του δύναμιν εἰς αὐτόν, διά τοῦτο ἐγεννήθη τυφλός· ἀλλ' ἐγεννήθη ἐκεῖνος τυφλός, ἠκολούθησε δέ οὕτω καί ἐνήργησεν εἰς αὐτόν ὁ Χριστός τό ἔργον τῆς παντοδυναμίας του. Διότι μέ τό ἐδικόν του δημιουργικόν πτύσμα, ἤνοιξεν ὁ τυφλός τούς ὀφθαλμούς του, καί ὄχι μέ τό νίψιμον τοῦ Σιλωάμ. Ἔστειλε δέ αὐτόν εἰς τήν κολυμβήθραν τοῦ Σιλωάμ, μέ τόν πηλόν εἰς τούς ὀφθαλμούς, διά νά λάβῃ πολλούς μάρτυρας τῆς θεραπείας του. Ἐπειδή ἀκόλουθον ἦτον πηγαίνων νά τόν ἰδοῦν πολλοί μέ τήν πηλόν χρισμένον τά ὀμμάτια, καί νά ἐρωτοῦν διατί τοῦτο· καί ὕστερα νά ἰδοῦν καθαρῶς βλέποντα, τόν πρό ὀλίγου τυφλόν, καί μέ τόν πηλόν εἰς τά ὄμματα. Σιλωάμ δέ ἐξηγεῖται, καθώς λέγει ὁ Εὐαγγελιστής, ἀπεσταλμένος· διατί δέ, ἄλλοι ἄλλα λέγουσιν. Ὀμματοῦται λοιπόν ὁ πρῴην τυφλός, καί σύγχυσις ἐντεῦθεν ἀκολουθεῖ· οἱ γείτονες καί οἱ γνώριμοί του, βλέποντες αὐτόν ἔξαφνα ἀναβλέψαντα, ἔπεσαν εἰς ἀμφιβολίας, μήπως δέν εἶναι ἐκεῖνος· αὐτός ὡμολόγει, πώς εἶναι ὁ ἴδιος, καί τόν τρόπον ἐδιηγεῖτο τῆς θεραπείας του. Οἱ δέ Φαρισαῖοι ἀκούσαντες, ὅτι τήν ἡμέραν τοῦ Σαββάτου πηλόν ἐποίησεν, ἐβλασφήμουν λέγοντες, ὅτι ὁ ἄνθρωπος οὗτος, δέν εἶναι ἀπό τόν Θεόν, ὅτι τό

Σάββατον οὐ τηρεῖ· καί σχίσμα γίνεται μεταξύ αὐτῶν, καί τόν τυφλόν ἐρωτῶσι τί λέγει περί αὐτοῦ. Ἐκεῖνος ἀπεκρίθη, πώς εἶναι Προφήτης· τό ὁποῖον, κοντά εἰς ἐκείνους ἦτον τιμιώτερον. Μή πιστεύοντες δέ, ὅτι τυφλός ὤν παρά Χριστοῦ ἔλαβε τήν θεραπείαν, ἔκραξαν τούς γονεῖς αὐτοῦ, καί τούτους ἐρωτῶσιν, ἄν εἶναι ὁ υἱός τους ὁ τοιοῦτος, καί ἄν ἐγεννήθῃ τυφλός, ὡς λέγεται, πῶς τώρα βλέπει; Ἀπεκρίθησαν ἐκεῖνοι, ὅτι ὁ υἱός τους εἶναι καί ὅτι τυφλός ἐγεννήθη· πῶς δέ τώρα βλέπει, ἡμεῖς δέν ἠξεύρομεν, αὐτός ἡλικίαν ἔχει, καί ἄς ἀποκριθῇ. Ὑπεκρίθησαν δέ τόν ἀγνοοῦντα, διότι ἐφοβοῦντο νά μή τούς κάμουν ἀποσυναγώγους. Λοιπόν ἐξετάζουν τόν ποτέ τυφλόν καί ἅπαξ καί δίς καί πολλάκις, ὥστε ὁποῦ μέ τάς πολλάς ἐξετάσεις, ἄλλο δέν ἔκαναν, παρά νά βεβαιώσουν τό θαῦμα περισσότερον. Τέλος πάντων, ἐπειδή φανερά ὡμολόγησεν, ὅτι ὁ Ἰησοῦς ἀπό Θεοῦ ἐστι, καί διά τοῦτο τυφλοῦ αὐτοῦ γεγεννημένου ἤνοιξε τούς ὀφθαλμούς, τό ὁποῖον ἀπ' αἰῶνος ἄλλος δέν ἔπραξε πώποτε, ὀργισθέντες τόν ἔκαμαν ἀποσυνάγωγον. Ὅθεν εὑρών αὐτόν ὁ Ἰησοῦς μετά ταῦτα, τόν λέγει, σύ πιστεύεις εἰς τόν Υἱόν τοῦ Θεοῦ; Ἀκούσας δέ, ὅτι αὐτός ἐστιν ὁ μετ' αὐτοῦ λαλῶν, ἐπροσκύνησεν αὐτόν, καί Μαθητής αὐτοῦ ἐχρημάτισε, τήν εὐεργεσίαν ἀνακηρύττων· ἐκαλεῖτο δέ, ὡς λέγουσι τινες, καί Χελιδόνιος.

Τῷ ἀπείρῳ ἐλέει σου φωτοδότα Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.



ΤΗΣ ΘΕΙΑΣ ΑΝΑΛΗΨΕΩΣ

Τῇ αὐτῇ ἡμέρᾳ Πέμπτῃ τῆς ἕκτης Ἑβδομάδος ἀπό τοῦ Πάσχα, τήν Ἀνάληψιν ἑορτάζομεν τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Α΄

Ἐπειδή γάρ τοῖς Μαθηταῖς συνών πρό τοῦ παθεῖν, τήν τοῦ παναγίου Πνεύματος ἐπηγγείλατο παρουσίαν, εἰπών· Συμφέρει, ἵνα ἀπέλθω· ἐάν γάρ ἐγώ μή ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται. Καί πάλιν· Ὅταν δέ ἔλθῃ ἐκεῖνος, διδάξει ὑμᾶς πᾶσαν τήν ἀλήθειαν· διά τοῦτο, μετά τό ἐκ νεκρῶν ἀναστῆναι, ἐν ἡμέραις τεσσαράκοντα αὐτοῖς ὀπτανόμενος, οὐκ ἀεί, ἀλλ' ἐκ διαλειμμάτων, συνεσθίων τε αὐτοῖς καί πίνων, βεβαιωτέραν τήν ἀνάστασιν παριστῶν· τό τελευταῖον, πολλά περί τῆς τοῦ Θεοῦ Βασιλείας ἐπαγγειλάμενος, παρήγγειλε τούτοις ἀπό Ἱερουσαλήμ μή χωρίζεσθαι, ἀλλ' ἐκεῖσε μένοντας, τήν τοῦ παναγίου Πνεύματος παρουσίαν ἐκδέχεσθαι, βαπτισθησομένους, καί δι' αὐτοῦ· ἐν ὕδατι γάρ καί μόνῳ ἦσαν βαπτισθέντες τό πρότερον ὑπό Ἰωάννου (κἄν ἐσύστερον ὁ Ἐπιφάνιος Κύπρου ἱστόρησεν, ὅτι ὁ μέν Θεολόγος Ἰωάννης τήν

Θεοτόκον βαπτίζει· ὁ Πέτρος δέ, καί αὐτός πάλιν, τούς τῶν Ἀποστόλων λοιπούς). Παρήγγειλε δέ αὐτοῖς μένειν εἰς Ἱερουσαλήμ, ἵνα ἐκεῖσε πρῶτον τό κήρυγμα τοῦ Εὐαγγελίου βεβαιωθῇ, μήπως, εἰς ἀλλοτρίους ἀπιόντες τόπους, εὐχερῶς διαβάλοιντο· καί ὅτι ἐχρῆν, καθάπερ εἴ τινας στρατιώτας, ἐντεῦθεν παρασκευασθῆναι τοῖς ὅπλοις τοῦ Πνεύματος, καί οὕτως εἰς μάχην χωρῆσαι τοῖς ἐχθροῖς τοῦ Χριστοῦ.

Ἐπεί δ' ὁ καιρός ἐπέστη τῆς Ἀναλήψεως, ἐξάγει μέν αὐτούς ἐπί τό Ὄρος τῶν Ἐλαιῶν (καλεῖται δέ οὕτως, ὅτι πλείσταις ἐλαίαις κατάφυτον ἦν)· καί διαλεγόμενος αὐτοῖς περί τῆς εἰς τά πέρατα αὐτοῦ ἀνακηρύξεως, ἔτι δέ καί περί τῆς ἀκαταλύτου αὐτοῦ Βασιλείας, τῆς ἐν τῷ μέλλοντι, ἐπειδή κἀκείνους τά δέοντα ἐρωτᾷν μέλλοντας ἑώρα, παρούσης ἐκεῖσε καί τῆς ἀχράντου αὐτοῦ Μητρός, ἐφίστησιν Ἀγγέλους αὐτοῖς, τήν εἰς οὐρανούς ἄνοδον ὑποδείξοντας. Καί δή, βλεπόντων, ἐπήρθη ἐκ τοῦ μέσου αὐτῶν, νεφέλης ἐκεῖνον ὑπολαβούσης· καί
312 οὕτως, ὑπό τῶν Ἀγγέλων παραπεμπόμενος, διακελευομένων ἀλλήλοις· τήν τῶν οὐρανίων θυρῶν ἔπαρσιν, καί καταπληττομένων τό ἐξ αἱμάτων τῆς σαρκός αὐτοῦ ἐρυθρόν, ἀνέβη καί ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρός, θεώσας τήν σάρκα, καί θαῤῥῶ λέγειν, ποιήσας ταύτην ὁμόθεον· δι' ἧς ἡμεῖς κατηλλάγημεν, τῆς ἀρχαίας ἔχθρας διαλυθείσης. Τοῖς μέντοι Ἀποστόλοις Ἄγγελοι, ἐν εἴδει ἀνδρῶν, ἐπέστησαν λέγοντες· Ἄνδρες Γαλι-

λαῖοι, τί ἑστήκατε καταπληττόμενοι, καί εἰς οὐρανόν ἀτενίζοντες, οὗτος ὅν βλέπετε μετά σαρκός Θεόν τόν Ἰησοῦν, οὕτως ἐλεύσεται πάλιν, μετά σαρκός δηλαδή· πλήν οὐχ ὡς πρότερον πενιχρός τε καί ἡσυχῇ, ἀλλά μετά δόξης μεγάλης, καθώς νῦν ὁρᾶτε ὑπό Ἀγγέλων παραπεμπόμενον.

Τότε οἱ Ἀπόστολοι τῷ ἀτενίζειν ἀποκαμόντες, ὑπέστρεψαν ἀπό τοῦ Ὄρους τῶν Ἐλαιῶν· ἔγγιστα δέ τοῦτό ἐστι τῆς Ἱερουσαλήμ, δισχιλίοις τεσσαράκοντα ποδῶν βήμασι διέχον αὐτῆς· τοῦτο γάρ ἐστιν ἡ τοῦ Σαββάτου ὁδός. Οὕτω δέ νενομοθέτηται τῷ Μωϋσῇ, ἐπί τοσούτοις βήμασι τῷ Σαββάτῳ περιπατεῖν· ὅτι περ καί ἡ Σκηνή τοῦ μαρτυρίου τοσούτοις βήμασι ποδῶν ὑπῆρχεν ἀφισταμένη τῆς τῶν Ἰουδαίων παρεμβολῆς· ἐξῆν γάρ ἐκεῖσε καί ἐν Σαββάτῳ ἀπιέναι τινάς προσκυνήσαντας, καί μή πλέον τήν πορείαν ἐκτείνειν· διά τοῦτο ἐκλήθη καί Σαββάτου ὁδός. Δοκεῖ δέ τισιν ἐντεῦθεν, ὅτι καί ἡ τοῦ Χριστοῦ Ἀνάληψις ἐν Σαββάτῳ ἐγένετο· ὅπερ τέως ἀπίθανον.

Ὑποστρέψαντες δέ οἱ Ἀπόστολοι, ἀνέβησαν ἐν τῷ ὑπερῴῳ, ἐν ᾧ ἦσαν καταμένοντες, σύν ταῖς Μυροφόροις γυναιξί, καί τῇ τοῦ Λόγου Μητρί, νηστείᾳ, καί προσευχῇ, καί δεήσει σχολάζοντες, καί τήν ἐπιφοίτησιν τοῦ παναγίου Πνεύματος ἐκδεχόμενοι, ὡς ἡ ὑπόσχεσις.

Ὁ ἀναληφθείς ἐν δόξῃ, Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Τῇ πέμπτῃ τῆς μετά τό Πάσχα ἕκτης ἑβδομάδος, τήν Ἀνάληψιν ἑορτάζομεν τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ὅτι ἀφ' οὗ ἀνέστη ἀπό τῶν νεκρῶν, καθώς ὁ θεῖος ἱστόρησε Λουκᾶς, τεσσαράκοντα ἡμέρας διέτριψεν ἐπάνω εἰς τήν γῆν, καί εἰς τό μεταξύ τοῦτο διάστημα, δέν ἐσυνεβρίσκετο πάντοτε μέ τούς Μαθητάς του, καθώς καί πρότερον, ἐπειδή τοῦτο πλέον δέν ἦτον δυνατόν, μετά τήν ἀνάστασιν νά γίνεται, ἀλλά μεταχειριζόμενος οἰκονομίαν ἀῤῥητον, πότε καί πότε μόνον ἐφαίνετο εἰς αὐτούς, καί ἐνώπιον αὐτῶν ἔφαγε καί ψηλάφησιν χειρῶν ὑπέμεινε, μόνον καί μόνον διά νά τούς βεβαιώσῃ ἐκ τῶν πραγμάτων, ὅτι ἀνέστη ἐκ τῶν νεκρῶν. Λοιπόν ἀφ' οὗ ἱκανῶς τούς ἐβεβαίωσε καί τούς ἐπληροφόρησε, ἄλλο δέν ἔλειπε, παρά νά ἀποχωρισθῇ ἀπ' αὐτούς σωματικῶς, καί νά ἀναβῇ εἰς τόν ἄναρχον Πατέρα του, αὐτό δή τοῦτο σήμερον ἔπραξε· καί εὐγαίνων αὐτούς ἔξω ἀπό τήν Ἱερουσαλήμ εἰς τό Ὄρος τῶν Ἐλαιῶν, ὁμοῦ καί τήν Ἀειπάρθενον Μητέρα του, τούς ἐδίδαξε τά τελευταῖα, τούς ἐπαράγγειλε νά μένουν ὅλοι ἀντάμα μέσα εἰς τά Ἱεροσόλυμα, διά νά δεχθοῦν ἡνωμένοι ὕστερα ἀπό ὀλίγας ἡμέρας, τόν Παράκλητον, καθώς πρό τοῦ Σταυροῦ ὑπέσχετο, ὅτι τότε θέλει ἔλθη ἐκεῖνος, ὅταν αὐτός ἀπέλθῃ. Καί ταῦτα εἰπών, καί εὐλογήσας αὐτούς μέ τάς θείας του χεῖρας, ἐπῄρθη ἀπό τῶν ὀφθαλμῶν

αὐτῶν, ἀπό Ἁγίους Ἀγγέλους βασταζόμενος· καί αὐτοί ἔμειναν ἀνατενίζοντες εἰς αὐτόν ἀναβαίνοντα τό ἄπειρον ὕψος τοῦ οὐρανοῦ. Ἐν ᾧ δέ ἔβλεπον αὐτό μετά θάμβους ἀνερχόμενον, ἰδού τούς ἐφάνηκαν δύω Ἄγγελοι, ἐν σχήματι λαμπροτάτων νεανίσκων, λέγοντες πρός αὐτούς, ἄνδρες Γαλιλαῖοι, τί στέκεσθε βλέποντες εἰς τόν οὐρανόν; αὐτός ὁ Ἰησοῦς ὅπου βλέπετε πώς μετά σαρκός ἀναβαίνει εἰς τόν οὐρανόν, αὐτός θέλει ἔλθη πάλιν μέ τήν ἰδίαν σάρκα, διά νά κρίνῃ τόν Κόσμον, πλήν θέλει ἔλθη μετά δυνάμεως καί δόξης πολλῆς. Καί οὕτω μετά χαρᾶς μεγάλης ἐγύρισαν εἰς τήν Ἱερουσαλήμ, καί εἰς τόν Ναόν τοῦ Σολομῶντος συνήγοντο, τήν ἔκβασιν τῆς ἐπαγγελίας ἐκδεχόμενοι, ἐν νηστείᾳ καί προσευχῇ σχολάζοντες. Ὁ ἀναληφθείς ἐν δόξῃ Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ἰστέον δέ, ὅτι κατά τινας Διδασκάλους, αὐτή εἶναι ἡ μεγίστη τῶν πασῶν Δεσποτικῶν ἑορτῶν, ὡσάν ὅπου σήμερον ἔλαβε τέλος ὁ σκοπός ὅλος τῆς ἐνσάρκου οἰκονομίας, ὁποῦ ἦτον νά τό ἀναβιβάσῃ τήν καταπεσοῦσαν φύσιν τῶν ἀνθρώπων, εἰς αὐτά τά ἐπουράνια· καί οἱ φιλόσοφοι λέγουσιν, ὅτι πανταχοῦ, τό τέλος, τιμιώτερον ἐστι τῶν πρός τό τέλος.




Η ΣΥΝΟΔΟΣ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ
ΠΙΣΤΕΥΩ ΕΙΣ ΕΝΑ ΘΕΟΝ, ΠΑΤΕΡΑ ΠΑΝΤΟΚΡΑΤΟΡΑ, ΠΟΙΗΤΗΝ ΟΥΡΑΝΟΥ ΚΑΙ ΓΗΣ
ΟΡΑΤΩΝ ΤΕ ΠΑΝΤΩΝ ΚΑΙ ΑΟΡΑΤΩΝ. ΚΑΙ ΕΙΣ ΕΝΑ ΚΥΡΙΟΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ
ΤΟΝ ΥΙΟΝ ΤΟΥ ΘΕΟΥ ΤΟΝ ΜΟΝΟΓΕΝΗ, ΤΟΝ ΕΚ ΤΟΥ ΠΑΤΡΟΣ ΓΕΝΝΗΘΕΝΤΑ ΠΡΟ ΠΑΝΤΩΝ ΤΩΝ ΑΙΩΝΩΝ
ΦΩΣ ΕΚ ΦΩΤΟΣ, ΘΕΟΝ ΑΛΗΘΙΝΟΝ ΕΚ ΘΕΟΥ ΑΛΗΘΙΝΟΥ, ΓΕΝΝΗΘΕΝΤΑ, ΟΥ
ΠΟΙΗΘΕΝΤΑ, ΟΜΟΟΥΣΙΟΝ ΤΩ ΠΑΤΡΙ, ΔΙ ΟΥ ΤΑ ΠΑΝΤΑ ΕΓΕΝΕΤΟ, ΤΑ ΤΕ ΕΝ ΤΩ
ΟΥΡΑΝΩ ΚΑΙ ΤΑ ΕΠΙ ΤΗΣ ΓΗΣ, ΤΟΝ ΔΙ ΗΜΑΣ ΤΟΥΣ
ΑΝΘΡΩΠΟΥΣ ΚΑΙ ΔΙΑ ΤΗΝ ΗΜΕΤΕΡΑΝ ΣΩΤΗΡΙΑΝ ΚΑΤΕΛΘΟΝΤΑ ΚΑΙ ΣΑΡΚΩΘΕΝΤΑ
ΚΑΙ ΣΑΡΚΩΘΕΝΤΑ ΕΚ ΠΝΕΥΜΑΤΟΣ ΑΓΙΟΥ ΚΑΙ ΜΑΡΙΑΣ ΤΗΣ ΠΑΡΘΕΝΟΥ ΚΑΙ ΕΝΑΝΘΡΩ
ΠΗΣΑΝΤΑ, ΣΤΑΥΡΩΘΕΝΤΑ ΤΕ ΥΠΕΡ ΗΜΩΝ ΕΠΙ ΠΟΝΤΙΟΥ ΠΙΛΑΤΟΥ,
ΚΑΙ ΠΑΘΟΝΤΑ, ΚΑΙ ΤΑΦΕΝΤΑ...

ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ Α΄ ΟΙΚ. ΣΥΝΟΔΟΥ

(Ζ΄ ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ ἑβδόμῃ ἀπό τοῦ Πάσχα, τήν ἐν Νικαίᾳ πρώτην Οἰκουμενικήν Σύνοδον ἑορτάζομεν, τῶν τριακοσίων δέκα καί ὀκτώ Θεοφόρων Πατέρων.

Α΄

Τήν παροῦσαν ἑορτήν ἑορτάζομεν, δι' αἰτίαν τοιαύτην. Ἐπειδή γάρ ὁ Κύριος Ἰησοῦς Χριστός, τήν καθ' ἡμᾶς φορέσας σάρκα, τήν οἰκονομίαν ἅπασαν ἀῤῥήτως ἐνήργησε, καί πρός τόν πατρῷον ἀποκατέστη θρόνον, θέλοντες δεῖξαι οἱ Ἅγιοι, ὅτι ἀληθῶς ὁ Υἱός τοῦ Θεοῦ ἐγένετο ἄνθρωπος, καί τέλειος ἄνθρωπος Θεός ἀνελήφθη, καί ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, καί ὅτι ἡ σύνοδος αὕτη τῶν ἁγίων Πατέρων οὕτως αὐτόν ἀνεκήρυξε, καί ἀνωμολόγησεν ὁμοούσιον καί ὁμότιμον τῷ Πατρί· τούτῳ τῷ λόγῳ, μετά τήν ἔνδοξον Ἀνάληψιν, τήν παροῦσαν ἐθέσπισαν Ἑορτήν, ὡσανεί τόν σύλλογον τῶν τοσούτων Πατέρων προβιβάζοντες, τοῦτον δή τόν ἐν σαρκί ἀναληφθέντα, Θεόν ἀληθινόν, καί ἐν σαρκί τέλειον ἄνθρωπον ἀνακηρυττόντων.

Ἡ δέ Σύνοδος αὕτη γέγονεν ἐπί Κωνσταντίνου τοῦ μεγάλου, ἐν τῷ εἰκοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ. Τοῦ γάρ διωγμοῦ παυσαμένου, οὗτος ἐν Ῥώμῃ πρότερον ἄρχει· μετέπειτα δέ, καί τήν πανευδαίμονα πόλιν, τήν ἑαυτῷ ἐπώνυμον, κτίζει, ἔτει ἀπό κτίσεως κόσμου πεντακισχιλιοστῷ ὀκτακοσιοστῷ τριακοστῷ ὀγδόῳ· τότε δή καί τά κατά τόν Ἄρειον ἤρξατο. Ὅς ὥρμητο μέν ἐκ Λιβύης· εἰς Ἀλεξάνδρειαν δέ γεγονώς, καί Διάκονος ὑπό τοῦ ἁγίου Ἱερομάρτυρος Πέτρου Ἀλεξανδρείας χειροτονηθείς, ἐπειδή βλασφημεῖν κατά τοῦ Υἱοῦ τοῦ Θεοῦ ἤρξατο, κτίσμα τοῦτον ἀνακηρύττων, ἐξ οὐκ ὄντων τε γενέσθαι, καί πόῤῥω ὄντα τῆς θεϊκῆς ἀξίας, καταχρηστικῶς δέ Σοφίαν καί Λόγον Θεοῦ λέγεσθαι, ὡς δῆθεν ἀντικαθιστάμενος Σαββελίῳ τῷ δυσσεβεῖ, μονοπρόσωπον καί μονοϋπόστατον λέγοντι τήν Θεότητα, καί ποτέ μέν Πατέρα γίνεσθαι, ποτέ δέ Υἱόν, ποτέ δέ Πνεῦμα ἅγιον. Ταῦτα δή τόν Ἄρειον βλασφημοῦντα, ὁ μέγας Πέτρος τῆς ἱερωσύνης ἀφίστησι, τόν Χριστόν ὡς βρέφος ἐπί τοῦ ἁγίου Θυσιαστηρίου ἰδών, διεῤῥωγός ἀναβεβλημένον ἱμάτιον, καί λέγοντα, τόν Ἄρειον διαῤῥῆξαι αὐτό.

Ἀχιλλᾶς δέ, ὁ μετά Πέτρον ἀρχιερατεύσας τῆς Ἀλεξάνδρου, ἐπί ὑποσχέσεσι, λύει πάλιν τόν Ἄρειον· πρός δέ, καί Πρεσβύτερον χειροτονεῖ, καί τοῦ κατ' Ἀλεξάνδρειαν διδασκαλείου προΐστησι. Τοῦ δέ Ἀχιλλᾶ τελευτήσαντος, Ἀλέξανδρος γίνεται· ὅς τόν Ἄρειον πάλιν τά αὐτά καί χείρονα βλασφημοῦντα εὑρών, τῆς Ἐκκλησίας

ἐξέωσε, διά Συνόδου αὐτόν καθελών. Ὡς δέ φησι Θεοδώρητος, ὅτι καί τρεπτῆς φύσεως τόν Χριστόν ἐδογμάτιζε, καί τό, ἄνουν καί ἄψυχον ἀνειληφέναι σάρκα τόν Κύριον, πρῶτος οὗτος ἠρεύξατο. Ὁ μέντοι Ἄρειος πολλούς τῇ αὐτοῦ δυσσεβείᾳ ὑπαγαγών, γράφει, καί οἰκειοῦται τόν Νικομηδείας Εὐσέβιον, τόν Τύρου Παυλῖνον, Εὐσέβιόν τε τόν Καισαρείας, καί ἄλλους, καί κατά τοῦ Ἀλεξάνδρου χωρεῖ. Ὁ δ' Ἀλέξανδρος, ἁπανταχοῦ τῆς οἰκουμένης τάς βλασφημίας ἐκείνου καί τήν καθαίρεσιν πέμψας, πολλούς πρός ἄμυναν ἤγειρε.

Τῆς οὖν Ἐκκλησίας ταραττομένης, καί μηδεμιᾶς θεραπείας, εἰς τήν περί τοῦ δόγματος φιλονεικίαν φαινομένης, ὁ μέγας Κωνσταντῖνος, ἁπανταχόθεν τῆς οἰκουμένης, δημοσίοις ὀχήμασι, τούς παρόντας Πατέρας συναγαγών ἐν Νικαίᾳ, ἐκεῖσε καί αὐτός παραγίνεται. Καί δή, τῶν Πατέρων πάντων καθισάντων, προτραπείς καί αὐτός ἐκάθισεν, οὐκ ἐν βασιλικῷ θρόνῳ, ἀλλ' ἐν ὑφειμένῳ τῆς ἀξίας καθίσματι· καί τῶν κατά τόν Ἄρειον λαληθέντων, ἀναθέματι μέν ἐκεῖνος καί οἱ ἐκείνῳ συμφρονοῦντες ἅπαντες ὑποβάλλονται. Ὁ δέ τοῦ Θεοῦ Λόγος παρά τῶν ἁγίων Πατέρων ὁμοούσιος, καί ὁμότιμος καί συνάναρχος ἀνακηρύττεται τῷ Πατρί. Ἐκτιθέασι δέ οὗτοι, καί τό τῆς πίστεως ἅγιον Σύμβολον, ἀγαγόντες αὐτό μέχρι τοῦ, Καί εἰς τό, Π ν ε ῦ μ α τ ό ἅ γ ι ο ν· τά γάρ ἑξῆς, ἡ δευτέρα ἀνεπλήρωσε Σύνοδος. Ἐκύρωσε δέ πρός τούτοις ἡ πρώτη Σύνοδος καί

τήν τοῦ Πάσχα ἑορτήν, πότε, καί πῶς δεῖ ἡμᾶς αὐτήν ἐκτελεῖν, καί μή μετά Ἰουδαίων, ὥς περ ἦν πρότερον ἔθιμον. Ἐκτιθέασι δέ καί Κανόνας περί Ἐκκλησιαστικῆς καταστάσεως εἴκοσι. Τό δέ ἅγιον τῆς πίστεως Σύμβολον, ὁ μέγας καί ἰσαπόστολος Κωνσταντῖνος, ὕστερος πάντων, ἐρυθροῖς ἐπεκύρωσε γράμμασιν.

Ἦσαν δέ Ἀρχιερεῖς μέν τῶν ἁγίων τούτων Πατέρων, διακόσιοι τριάκοντα καί δύο· Ἱερεῖς δέ, καί Διάκονοι, πρός δέ καί Μονάζοντες, ὀγδοήκοντα καί ἕξ· οἱ συμπαρόντες δέ, τριακόσιοι δέκα καί ὀκτώ. Οἱ δ' ἐπισημότεροι ἦσαν οὗτοι· Σίλβεστρος ὁ τῆς Ῥώμης Ἀρχιερεύς, Μητροφάνης Κωνσταντινουπόλεως ἀσθενῶν· οὗτοι δή παρῆσαν διά τοποτηρητῶν. Ἀλέξανδρος, ὁ Ἀλεξανδρείας, σύν Ἀθανασίῳ τῷ μεγάλῳ, Ἀρχιδιακόνῳ τότε ὑπάρχοντι· Εὐστάθιος ὁ Ἀντιοχείας, καί ὁ Μακάριος Ἱεροσολύμων· ὁ Ὅσιος Κουδρούβης Ἐπίσκοπος· Παφνούτιος ὁ ὁμολογητής· ὁ μυροβλήτης Νικόλαος, καί Σπυρίδων ὁ Τριμυθοῦντος, ὅς τόν ἐκεῖσε φιλόσοφον
320 καταβαλών, ἐβάπτισε τό τρισήλιον αὐτῷ ὑποδείξας. Ἐν τῷ μεταξύ δέ τῆς Συνόδου, δύο πρός Θεόν μεταστάντων Πατέρων Ἀρχιερέων, ὁ μέγας Κωνσταντῖνος, τοῖς αὐτῶν κιβωτίοις τόν ὅρον τῆς ἁγίας Συνόδου ἐνθέμενος, καί ἀσφαλῶς περικλείσας, εὗρεν ἐκεῖνον καί παρ' αὐτῶν κυρωθέντα τε καί ὑπογραφέντα, ἀῤῥήτοις λόγοις Θεοῦ.

Τελεσθείσης δέ τῆς Συνόδου, ἐπεί καί ἡ Πόλις ἤδη ἀνοικοδομηθεῖσα πεπλήρωτο, μετακαλεῖται Κωνσταν-

τῖνος ὁ μέγας τούς ἁγίους ἐκείνους ἅπαντας ἄνδρας· οἵ καί περιελθόντες σύμπαντες, καί εὐξάμενοι, ταύτην ἀρκούντως Βασιλεύουσαν εἶναι τῶν Πόλεων προσκυροῦσι, καί τῇ Μητρί τοῦ Λόγου ταύτην ἀνέθεντο, τοῦ Βασιλέως κελεύσαντος· καί οὕτως οἱ Ἅγιοι ἕκαστος οἴκαδε ἀνεχώρησαν.

Ἀλλά μήπω τοῦ μεγάλου πρός Θεόν ἐκδημήσαντος Κωνσταντίνου, σύν τῷ Υἱῷ δέ αὐτοῦ Κωνσταντίῳ τά σκῆπτρα διέποντος, ὁ Ἄρειος τῷ Βασιλεῖ πρόσεισι, λέγων καταλιπεῖν ἅπαντα, καί τῇ Ἐκκλησίᾳ ἑνωθῆναι Θεοῦ. Γράψας τοίνυν τάς αὐτοῦ βλασφημίας, ἀπῃώρησε τοῦ τραχήλου· καί ὡς δῆθεν τῇ Συνόδῳ πειθόμενος, ἐκεῖνα χειρί περικρούων, τούτοις ἔλεγε πείθεσθαι. Ἀμέλει καί ὁ Βασιλεύς, δέξασθαι εἰς κοινωνίαν τόν Ἄρειον τῷ Πατριάρχῃ τῆς Κωνσταντινουπόλεως ἐνεκελεύετο. Ἦν δέ τότε μετά Μητροφάνην, Ἀλέξανδρος· ὅς, τό δύστροπον εἰδώς τοῦ ἀνδρός, ἀμφιβάλλων ἦν, καί δεόμενος τοῦ Θεοῦ δεῖξαι αὐτῷ, εἰ κατά γνώμην αὐτοῦ κοινωνήσει Ἀρείῳ. Ἐπεί δ' ὁ καιρός ἐπέστη, καθ' ὅν ἔδει συλλειτουργῆσαι αὐτῷ, θερμοτέρως γίνεται τῆς προσευχῆς. Ὁ δέ Ἄρειος, εἰς τήν Ἐκκλησίαν ἐρχόμενος, περί που τόν κίονα τοῦ φόρου νυξάσης αὐτόν τῆς γαστρός, εἰς δημόσιον ἀπόπατον εἴσεισι· κἀκεῖσε διαῤῥαγείς, σύμπασαν τήν ἔνδοθεν πλᾶσιν κάτωθεν ἐξερεύγεται, τήν τοῦ Ἰούδα ῥῆξιν ὑποστάς ἐπί ἴσῃ προδοσίᾳ τοῦ Λόγου· καί τόν Υἱόν τοῦ Θεοῦ

τῆς Πατρικῆς οὐσίας ἀποῤῥηγνύς, αὐτός διαῤῥήγνυται, νεκρός εὑρεθείς· καί οὕτως ἡ τοῦ Θεοῦ Ἐκκλησία τῆς ἐκείνου λύμης ἀπήλλακται.

Ταῖς τῶν ἁγίων τριακοσίων δέκα καί ὀκτώ Θεοφόρων Πατέρων πρεσβείαις, Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Τῇ ἑβδόμῃ ἀπό τοῦ Πάσχα Κυριακῇ, τήν πρώτην Ἁγίαν καί Οἰκουμενικήν Σύνοδον τῶν Ἁγίων τριακοσίων δέκα καί ὀκτώ θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συναθροισθέντων ἑορτάζομεν, ἡ ὁποία καί ἔγινεν ἀπό τήν ἐξῆς αἰτίαν. Μόλις εἶχον παύσει οἱ ἀπό τῶν τυράννων τῆς Ῥώμης διωγμοί, καί οἱ δεινοί χειμῶνες ἐκεῖνοι, οἱ κατά τῆς Ἐκκλησίας ἐγερθέντες ὑπό τοῦ σατανᾶ, καί εἰρήνη γλυκεία ἐπέλαμψεν εἰς τά Χριστιανικά πλήθη, βασιλεύσαντος, ἐκ Θεοῦ Προνοίας, τοῦ ἀοιδίμου Κωνσταντίνου, ὅστις πρῶτος τά σκῆπτρα τῆς Βασιλείας ὑπέταξεν εἰς τόν σταυρωθέντα Ἰησοῦν Χριστόν, μέ τοῦ ὁποίου τήν ἀκαταμάχητον δύναμιν κατέλυσε, καί εἰς τέλος ἐξηφάνισε τούς ἀθεωτάτους τυράννους, καί ὡς ἄλλος ἥλιος πανταχοῦ ἐξαπέστειλε τάς γλυκυτάτας ἀκτίνας τῆς εἰρήνης, καί οἱ φυλακωμένοι ἀπελύθησαν, οἱ ἐξόριστοι ἀνεκαλέσθησαν, οἱ θεῖοι Ναοί ἠνεῴχθησαν, καί ἄλλοι νέοι ἀνεγείροντο, καί ὁ κόσμος

ὅλος ἀνέπεμπον δόξαν καί εὐχαριστίαν τῷ φιλανθρώπῳ Σωτῆρι, διά τήν γαλήνην καί ἀταραξίαν, ὁποῦ, ηὐδόκησε παραδόξως νά ἀξιωθοῦν· μόλις λέγω αἱ τοῦ Θεοῦ Ἐκκλησίαι, εἶδον τάς γλυκείας ἀκτίνας τῆς εἰρήνης, καί ἰδού ἔξαφνα νέα ταραχή, καί ταραχή μεγάλη καί φοβερά ἠγέρθη εἰς τήν Ἐκκλησίαν τοῦ Θεοῦ, ἀπό τῆς πόλεως Ἀλεξανδρείας τῆς Αἰγύπτου. Βεβαιότατα δέν εἶναι σχεδόν κανείς, ὁποῦ δέν ἔχει ἀκουστόν τό ὄνομα τοῦ δυσωνύμου Ἀρείου οὗτος ἐγέννησε μεγάλην καί φοβεράν αἵρεσιν, διδάσκων, ὅτι ὁ Υἱός καί Λόγος τοῦ Θεοῦ, ἦτον κτίσμα τοῦ Θεοῦ καί ὄργανον αὐτοῦ, διά τοῦ ὁποίου τόν κόσμον ἐδημιούργησεν, ἤγουν ἄλλης οὐσίας καί φύσεως, παρά τόν Πατέρα. Αὐτός ἦτο Πρωτοπαπᾶς, καί Διδάσκαλος τῶν θείων Γραφῶν διωρισμένος ἀπό τόν Πατριάρχην τῆς Ἀλεξανδρείας Ἀλέξανδρον. Ὅθεν καί μέ τό νά ἦτον ἐπίσημος ἡ ἀσέβεια τῆς μιαρᾶς του αἱρέσεως, ἐντός ὀλίγου διεσπάρθη καί ἐκοινολογήθη εἰς πολλούς Ἀρχιερεῖς, ἀκόμη καί ἀπό τούς ὀνομαστούς. Τόν ἔκρινεν ὁ θεῖος Ἀλέξανδρος, καί τόν ἐκάθῃρε μέ τοπικήν Σύνοδον, ἀλλά τό κακόν μάλιστα μετά ταῦτα ἐγένετο διαδόσιμον· καί ἀφ᾽ οὗ διεσπάρη εἰς τάς πόλεις τῆς Αἰγύπτου, ἐπέρασεν εἰς τήν Παλαιστίνην, ἔφθασε καί εἰς τά μέρη τῆς Θρᾴκης, καί τοῦ Εὐξείνου Πόντου, καί πανταχοῦ ἐπλατύνετο ἡ βλασφημία τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, καί φιλονεικίαι καί σκάνδαλα ἀκατάπαυστα, καί ἀλ-

ληλομαχίαι ἐγίνοντο ἀναμεταξύ εἰς τά πλήθη τοῦ χριστωνύμου λαοῦ. Ταῦτα καθ' ἑκάστην μανθάνων, ὁ χριστιανικώτατος Βασιλεύς ὁ Κωνσταντῖνος, καί βλέπων, πώς κάθε ἐπίνοια θεραπείας, ἦτον περιττή, στέλει Βασιλικούς ὁρισμούς εἰς τούς Ἐπισκόπους ὅλους τῆς Βασιλείας του, νά συναχθοῦν εἰς ἕν εἰς τήν Νίκαιαν πόλιν τῆς Βιθυνίας, διά νά εὕρουν καί νά συστήσουν τήν ἀλήθειαν τοῦ τοιούτου δόγματος, ἀποστείλας καί ἔξοδα, καί ἁμάξια βασιλικά, ἠξεύρων, πώς σχεδόν ὅλοι ἐκεῖνοι ἦσαν καί ἀκτήμονες, καί γέροντες, καί ἀσθενεῖς ἀπό τούς προλαβόντας διωγμούς καί μαρτύρια. Λοιπόν συναθροισθέντες οἱ θεῖοι Πατέρες εἰς τήν Νίκαιαν, καί συνελθόντες εἰς τόν εὐτρεπισθέντα τόπον, καί καθίσαντες ὅλοι εἰς τούς θρόνους των, εἰσῆλθεν ἔπειτα καί ὁ Βασιλεύς, καί σταθείς ὄρθιος, δέν ἐκάθισεν, ἕως ὁποῦ οἱ Πατέρες ἐπέτρεψαν αὐτῷ, καί οὕτως ἐκάθισε· καί πάλιν ὄχι εἰς τόν βασιλικόν του θρόνον, ἀλλ' ἀπό δίπλα, εἰς ἕνα ταπεινότατον σκάμνον· τόσην εὐλάβειαν εἶχεν
324 ὁ ἀοίδιμος, εἰς τούς Ἱερεῖς τοῦ ἀληθινοῦ Θεοῦ, καί μάλιστα διότι ἔβλεπεν εἰς τούς περισσοτέρους τοῦ μαρτυρίου τά στίγματα. Μετά ταῦτα ἐλάλησεν ὁ εὐσεβέστατος Βασιλεύς μέ Λατινικήν γλῶσσαν, παρακινῶν αὐτούς, νά κάμουν ὀρθῶς καί ἀπαθῶς τήν ἐξέτασιν τῶν θείων δογμάτων, καί νά διδάξουν τόν κόσμον, τί πρέπει νά φρονοῦν περί τῆς Ἁγίας Τριάδος, διά νά παύσουν ἀπό τούς Χριστιανούς αἱ φιλονικεῖαι καί τά

σκάνδαλα, διά τό ὁποῖον τέλος καί τούς ἐσύναξε δι' αὐτοῦ τό Πνεῦμα τό Ἅγιον. Καί λαληθέντων τῶν τοῦ Ἀρείου δογμάτων, ὕστερον ἀπό πολλάς φιλονικείας, καί ἐξετάσεις ἐκ τῶν θείων Γραφῶν, ἀναθεμάτισαν τά ἀσεβέστατα τοῦ Ἀρείου δόγματα, καί αὐτόν τόν ἴδιον Ἄρειον, καί τούς ἐδικούς του ὁμόφρονας, μέ τό νά μήν ἔστερξαν νά ὁμολογήσουν τά ὀρθά τῆς Καθολικῆς Ἐκκλησίας δόγματα, ἤγουν ὅτι, ὁ Πατήρ ἀεί Πατήρ ἦν· καί ὁ Υἱός, ἀεί ἦν Υἱός· καί ὅτι ἄτρεπτος καί ἀναλλοίωτος, ὡς Θεός ἀληθινός, καί ὁμοούσιος τῷ Πατρί. Ταῦτα δογματίσασα ἡ Ἁγία Σύνοδος ὑπέρ τῆς δόξης τοῦ Μονογενοῦς, αὐτή πρώτη καί ἐξέδωκεν ἐγγράφως τήν Πίστιν, ὁποῦ πρέπει νά ὁμολογῇ κοινῶς ὅλος ὁ Χριστιανικός κόσμος, τό ὁποῖον καί ὀνομάζομεν Ἅγιον Σύμβολον, καί ἡ Ἁγία καί Οἰκουμενική δευτέρα Σύνοδος τό ἀνεπλήρωσε, μέ τήν ἀνάπτυξιν ὁποῦ ἔκαμεν εἰς τήν ὁμολογίαν τοῦ Ἁγίου Πνεύματος, ὡσάν ὁποῦ τότε ἀκόμη δέν εἶχε κινηθῆ βλασφημία περί τῆς ὑποστάσεως τοῦ Ἁγίου Πνεύματος. Ἡ αὐτή Ἁγία Σύνοδος ἐθέσπισε, καί πῶς καί πότε νά κάνωμεν τήν ἑορτήν τοῦ Ἁγίου Πάσχα, διά νά μήν συνεορτάζωμεν μέ τούς Ἑβραίους, καθώς συνέβαινε νά γίνεται πρότερον· ἐξέδωκε δέ καί κανόνας εἰκοσιοκτώ περί Ἐκκλησιαστικῆς εὐταξίας καί καταστάσεως. Ὕστερον δέ ἀπό τάς ὑπογραφάς τῶν Μακαρίων Πατέρων, ὑπέγραψε καί ἐκύρωσε τό Ἅγιον Σύμβουλον, μέ ἐρυθρά γράμματα καί ὁ μέγας ἰσαπό-

στολος Κωνσταντῖνος. Λέγουσι δέ καί ὅτι δύω ἀπό τούς θείους Πατέρας, ἤτοι Ἀρχιερεῖς, μετέστησαν ἐν τῷ μεταξύ πρός Θεόν, πρό τοῦ νά ὑπογράψουν. Ὅθεν κατά κέλευσιν τοῦ πανευφήμου Βασιλέως, ἔβαλον τόν ὅρον τῆς Ἁγίας Συνόδου, μέσα εἰς τά κιβώτια αὐτῶν, καί μέ σφραγίδας Βασιλικάς, τά κατησφάλισαν· καί ὦ τοῦ θαύματος! εὑρέθη καί παρ' ἐκείνων βεβαιωμένος, κατά τά ἄῤῥητα κρίματα τοῦ Ἁγίου Θεοῦ. Περιττόν στοχάζομαι νά ἀναφέρω τῶν ἐκεῖ ἐπισημοτέρων τά ὀνόματα· λέγω δέ μόνον τόν Θεῖον τῆς Τριμυθοῦντος Σπυρίδωνα, ὁ ὁποῖος ἐθριάμβευσεν εἰς τό μέσον ἐκείνου τοῦ θείου Συλλόγου, νικήσας, ἑλκύσας, καί βαπτίσας τόν πρῴην φλύαρον ἐκεῖνον φιλόσοφον, ὄχι μέ θαῦμα κεραμίδος, καθώς μάτην τινές γράφουσι καί λέγουσιν, ἀλλά μέ τήν δύναμιν μόνην τῶν ἁπλουστάτων του λόγων, καθώς ἐκεῖνος ὁ ἴδιος Φιλόσοφος ἐμαρτύρησεν εἰς τούς μαθητάς του, καθώς ἱστορεῖ ὁ Γελάσιος. Τελειωθείσης λοιπόν τῆς Ἁγίας Συνόδου, ἐπειδή καί ἡ νεωστί ἀνεγερθεῖσα πόλις, παρά τοῦ αὐτοῦ μεγάλου Κωνσταντίνου, ἤδη εἶχε πληρωθῇ, προσεκάλεσεν ὁ ἴδιος ὅλους ἐκείνους τούς Ἁγίους Ἄνδρας ἐκεῖσε, οἵτινες καί ἀπῆλθον, καί τήν εὐχήθησαν νά διαμένῃ εἰς αἰῶνας Βασιλεύουσα τῶν πόλεων, ἀφιερώσαντες αὐτήν καί παραδόντες αὐτήν εἰς τήν προστασίαν τῆς Θεομήτορος, καθώς ὁ Βασιλεύς ἐκέλευσε, καί οὕτως ἀνεχώρησεν ἕκαστος εἰς τά ἴδια. Ἄξιον δέ εἶναι νά προ-

σθέσωμεν ἐνταῦθα καί τήν μετά γενομένην κατά τοῦ ἀσεβεστάτου Ἀρείου δικαιοκρισίαν τοῦ Θεοῦ· ὅτι ἀφ' οὗ ἡ Σύνοδος διελύθη, ὡς εἴπομεν, οἱ τοῦ Ἀρείου ὁμόφρονες, μήν ὑποφέροντες νά ἦναι κεχωρισμένοι ἀπό τήν Καθολικήν Ἐκκλησίαν, μέ τό ἀνάθεμα τῆς Οἰκουμενικῆς Συνόδου, ἐνήργησαν μέ κάθε τρόπον καί ἐπαῤῥησιάσθη εἰς τόν Βασιλέα, ὁ τῆς αἱρέσεως ἔξαρχος ὁ Ἄρειος, καί ἔδωκεν εἰς αὐτόν λίβελον, ἤτοι χάρτην, εἰς τόν ὁποῖον ἔγραφε, πώς μετανοεῖ, καί δέχεται τά ὅσα ἐδογμάτισεν ἡ Ἁγία Σύνοδος, καί ζητεῖ τήν μετά τῶν Ὀρθοδόξων κοινωνίαν. Ἦτον δέ ἡ μετάνοιά του δολερά, καί πρός ἀπάτην κατεσκευασμένη, καθώς ἔδειξαν τά πράγματα ὕστερον· ὅτι ἐρωτῶν αὐτόν ὁ Βασιλεύς, ἄν ἀληθῶς ταῦτα ὁμολογεῖ, ἀπεκρίθη, ναί Βασιλεῦ, ὄντως ταῦτα ὁμολογῶ, ἀκουμβῶν τό χέρι του εἰς τό στῆθός του, μέσα εἰς τό ὁποῖον εἶχε κεκρυμμένα τά ἐδικά του βλάσφημα τά ὁποῖα καί ἐδείκνυε μέ τό χέρι του. Λοιπόν ἐπείσθη ὁ εὐσεβέστατος βασιλεύς, καί θαῤῥῶν πώς ἦτον ἡ μετάνοιά του ἀληθινή, ἐπρόσταξε τόν Πατριάρχην τῆς πόλεως τόν θεῖον Ἀλέξανδρον, νά δεχθῇ τόν Ἄρειον εἰς τήν Ἐκκλησίαν, καί νά συλλειτουργήσῃ μετ' αὐτοῦ. Ὁ θεῖος ἐκεῖνος Ἀνήρ ἠξεύρων τήν δυστροπίαν τοῦ Ἀρείου, δέν ἔκλινε νά τόν δεχθῇ, ἔχων ἀμφιβολίαν εἰς τήν μετάνοιάν του· ἀλλά καί νά ἀντιλέγῃ εἰς τόν Βασιλέα μή δυνάμενος, κατέφυγεν εἰς τόν Θεόν, τόν εἰδότα τά κρύφια τῶν ἀνθρωπίνων καρ-

διῶν, καί αὐτόν παρεκάλει μετά θερμῶν δακρύων, νά δείξῃ ἄνωθεν σημεῖον, ἄν εἶναι ἀρεστόν εἰς αὐτόν, ἤ ὄχι, τό νά συγκοινωνήσῃ μέ τόν Ἄρειον. Μάλιστα λέγουσι, πώς ἔλεγε δεόμενος, ὦ Δέσποτα, εἰ αὔριον ὁ Ἄρειος συνάγεται, ἆρον ἐμέ ἐκ τῆς ζωῆς. Λοιπόν ἔφθασεν ἡ ῥητή ἡμέρα, ὅπου ἔμελλε νά συλλειτουργήσῃ, ἡ ὁποία καί ἦτον Κυριακή, καί ὁ Ἄρειος εἰς τήν διωρισμένην ὥραν, ἐξῆλθεν ἀπό τά Βασίλεια συνωδευμένος μέ τούς ἐδικούς του ὀπαδούς καί ὁμόφρονας, καί ἐκεῖ βαδίζων πρός τήν Ἐκκλησίαν, κυριεύεται ἀπό κάποιον φόβον, καί κοντά εἰς τόν φόβον, τόν ἐκέντησε καί ἡ κοιλία, καί ἀγροικῶν γουργουρητόν, ἠρώτησε ποῦ εἶναι ὁ τόπος διά τήν χρείαν τῆς φύσεως καί ἔδειξαν τόν κοινόν ἀπόπατον. Καί λοιπόν εἰσῆλθεν, ἀλλά πλέον δέν ἐξῆλθεν· ἐκάθισεν, ἀλλά δέν ἐσηκώθη· ὅτι ἐκεῖ ἔφθασεν ἡ Θεία Δίκη τόν βλασφημήσαντα εἰς τό ὕψος τοῦ Μονογενοῦς, καί ἐχύθησαν κάτωθεν τά ἔντερά του, καί ὅλα του τά ἐντόσθια· καί οὕτω κατησχύνθησαν οἱ τούτου ὁμόφρονες, καί τά πρόσωπα αὐτῶν ἀτιμίας ἐπλήσθησαν. Τά δέ πλήθη τῶν ὀρθοδόξων καί αὐτός ὁ θεοσεβέστατος βασιλεύς, ἐχάρησαν χαράν μεγάλην, καί ἐδόξασαν τόν Θεόν, ὁποῦ παραδόξως ἐξεδίκησε τήν θείαν του Πίστιν, καταβαλών τῶν ἀλαζόνων ἐκείνων τήν ὕβριν καί τήν ὑπερηφάνειαν.

Ταῖς τῶν Ἁγίων σου Πατέρων πρεσβείαις Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς, Ἀμήν.



ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΓΙΑΣ ΠΕΝΤΗΚΟΣΤΗΣ

(Η΄ ΑΠΟ ΤΟΥ ΠΑΣΧΑ)

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ ὀγδόῃ ἀπό τοῦ Πάσχα, τήν ἁγίαν Πεντηκοστήν ἑορτάζομεν.

Α΄

Καί ταύτην τήν ἑορτήν ἀπό τῶν Ἑβραϊκῶν παρειλήφαμεν Βίβλων· ὥσπερ γάρ ἐκεῖνοι τήν παρ᾽ αὐτοῖς Πεντηκοστήν ἑορτάζουσι, τιμῶντες τόν ἕβδομον ἀριθμόν, καί ὅτι μετά τό Πάσχα, πεντήκοντα ἡμέρας διαβιβάσαντες, τόν Νόμον ἔλαβον· οὕτω καί ἡμεῖς, μετά τό Πάσχα, πεντήκοντα ἡμέρας ἑορτάζοντες, τό πανάγιον Πνεῦμα λαμβάνομεν, νομοθετοῦν καί ὁδηγοῦν εἰς πᾶσαν ἀλήθειαν, καί τά ἀρέσκοντα τῷ Θεῷ διαταττόμενον.

Ἰστέον δέ, ὡς παρ᾽ Ἑβραίοις τρεῖς ἦσαν Ἑορταί, τό Πάσχα, ἡ Πεντηκοστή καί ἡ Σκηνοπηγία. Τό μέν οὖν Πάσχα, εἰς ἀνάμνησιν ἐποίουν τῆς διαβάσεως τῆς Ἐρυθρᾶς θαλάσσης· τό γάρ Πάσχα διάβασις ἑρμηνεύεται· ἐδήλου δέ ἡ τοιαύτη ἑορτή τήν ἡμετέραν, ἀπό τῆς σκοτεινῆς ἁμαρτίας, πρός τόν Παράδεισον αὖθις διάβασιν καί ἐπάνοδον.

Τήν δέ Πεντηκοστήν ἑώρταζον, εἰς ἀνάμνησιν τῆς ἐν τῇ ἐρήμῳ κακοπαθείας αὐτῶν, καί ὅπως διά πολλῶν θλίψεων εἰς τήν γῆν τῆς ἐπαγγελίας εἰσήχθησαν· τότε γάρ καί καρποῦ, σίτου καί οἴνου ἀπήλαυσαν· καί ἐδήλου τήν ἡμετέραν ἐξ ἀπιστίας κάκωσιν, καί εἰς τήν Ἐκκλησίαν εἰσέλευσιν· τότε γάρ καί ἡμεῖς τοῦ Δεσποτικοῦ μεταλαμβάνομεν Σώματος καί Αἵματος. Οἱ μέν οὖν διά ταύτην τήν αἰτίαν λέγουσι τήν παρ' Ἑβραίοις Πεντηκοστήν ἑορτάζεσθαι. Οἱ δέ, εἰς τιμήν, ὥς φασι, τῶν πεντήκοντα ἡμερῶν, ἅς νηστεύσας ὁ Μωϋσῆς, τόν θεόγραφον Νόμον ἐδέξατο· ἐνταυτῷ μεμνημένοι καί τῆς μοσχοθυσίας, καί τῶν ἄλλων, ἅπερ, ὅτε Μωϋσῆς ἀνιών ἐν τῷ ὄρει, καί κατιών, διεπράξατο. Ἑτέροις δέ ἔδοξε τήν Πεντηκοστήν παρ' Ἑβραίοις ἐπινοηθῆναι, διά τήν τοῦ ἑπτά τιμήν, ὡς εἴρηται· αὐτός γάρ ἐφ' ἑαυτόν ἑπτάκις συντιθέμενος, ποιεῖ τόν πεντήκοντα μιᾶς δεούσης ἡμέρας. Οὐκ ἐν ἡμέραις δέ μόνον τῆς Πεντηκοστῆς ἡ τιμή, ἀλλά καί εἰς ἐνιαυτούς, ἐξ ὧν ὁ παρ' ἐκείνοις Ἰωβηλαῖος γεννᾶται· ἑπταπλασιαζομένων γάρ τῶν ἐτῶν, οὗτος γίνεται· ὅτε καί τήν γῆν ἄσπορον ἀφιᾶσι, καί ζῴοις παρέχουσιν ἄνεσιν, καί τοῖς ὠνητοῖς τῶν δούλων ἀναχωρεῖν ἐπιτρέπουσι.

330

Τρίτη δέ ἑορτή ἡ Σκηνοπηγία, ἑορταζομένη μετά τήν συγκομιδήν τῶν καρπῶν, μετά πέντε δηλονότι μῆνας τῆς ἑορτῆς τοῦ Πάσχα. Ἐτελεῖτο δέ αὕτη, εἰς μνήμην τῆς ἡμέρας, καθ' ἥν Μωϋσῆς πρῶτον ἔπηξε

τήν ἐν ὄρει Σινᾷ ὁραθεῖσαν διά νεφέλης, καί κατασκευασθεῖσαν ὑπό τοῦ ἀρχιτέκτονος Βεσελεήλ, Σκηνήν· σκηνάς γάρ καί οὗτοι διαπραττόμενοι, τήν αὐτήν ἐπετέλουν ἑορτήν, καί ἐν ἀγροῖς διάγοντες, καί εὐχαριστοῦντες Θεῷ, τούς καρπούς τῶν ἰδίων συνεκόμιζον πόνων. Ἐν ταύτῃ δοκεῖ καί Δαυΐδ τούς ὑπέρ τῶν ληνῶν ἐπιγράφειν Ψαλμούς. Τύπος δέ ἦν αὕτη τῆς ἡμῶν ἐκ νεκρῶν ἀναστάσεως, ὅτε, διαλυθέντων τῶν σωματικῶν ἡμῶν σκηνῶν, καί αὖθις συμπηγνυμένων, τῶν ἰδίων πόνων τούς καρπούς ἀπολαύσομεν, πανηγυρίζοντες ἐν ταῖς αἰωνίοις σκηναῖς.

Χρή δέ εἰδέναι, ὡς κατ' αὐτήν τήν ἡμέραν τῆς Πεντηκοστῆς τελουμένης, τό Πνεῦμα τό ἅγιον τοῖς Μαθηταῖς ἐπεδήμησεν. Ἐπεί δέ τοῖς ἁγίοις Πατράσιν ἔδοξε μερίσαι τάς ἑορτάς, διά τό μεγαλεῖον τοῦ Παναγίου καί ζωοποιοῦ Πνεύματος, ὅτι ἕν ἐστι τῆς ἁγίας καί ζωαρχικῆς Τριάδος, ἰδού καί ἡμεῖς εἰς αὔριον, ὅπως τό Πνεῦμα τό ἅγιον ἐπεδήμησε, λέξομεν.

Ταῖς τῶν ἁγίων Ἀποστόλων πρεσβείαις, Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.


Β΄

Τῇ ὀγδόῃ Κυριακῇ ἀπό τοῦ Πάσχα, τήν Ἁγίαν Πεντηκοστήν ἑορτάζομεν, καί προσέτι καί τήν ἐπιδημίαν τοῦ Ἁγίου Πνεύματος· διατί, καθώς οἱ Ἑβραῖοι, ἀριθμοῦντες ἑπτά ἑβδομάδας τήν ἐδικήν των Πεντηκοστήν ἑορτάζουσι, μέ τό νά τιμῶσι πάντοτε τόν ἑβδοματικόν ἀριθμόν, καί ὅτι μετά τό Πάσχα, ὅταν ἐπληρώθησαν πεντήκοντα ἡμέραι, ἔλαβον τόν Νόμον, οὕτω καί ἡμεῖς, ἐκ τῶν Ἑβραϊκῶν βιβλίων παραλαβόντες τήν ἀπό τοῦ Πάσχα Πεντηκοστήν ἑορτάζομεν, καί ὅτι ἀντί τοῦ Νόμου, τό πανάγιον Πνεῦμα ἐν αὐτῇ τῇ Πεντηκοστῇ ἡμέρᾳ ἐλάβομεν, νομοθετοῦν καί ὁδηγοῦν ἡμᾶς εἰς πᾶσαν ἀλήθειαν, καί τά ἀρέσκοντα τῷ Θεῷ διατταττόμενον. Τρεῖς δέ ἦσαν αἱ παρ' Ἑβραίοις μεγάλαι ἑορταί, τό Πάσχα, ἡ Πεντηκοστή, καί ἡ Σκηνοπηγία· καί τό μέν Πάσχα ἐποίουν εἰς ἀνάμνησιν τῆς ἀπολυτρώσεως αὐτῶν ἐκ τῆς Αἰγύπτου, καί διαβάσεως τῆς Ἐρυθρᾶς θαλάσσης, δηλαδή ὁποῦ ἐσχίσθη εἰς δύω ἡ θάλασσα, καί διέβη ὅλος ὁ λαός εἰς τό πέραν, διά ξηρᾶς· τό γάρ Πάσχα διάβασις ἐξηγεῖται· ἐφανέρωνε δέ ἐκείνη ἡ διάβασις τήν ἀπό τῆς σκοτεινῆς ἁμαρτίας διάβασιν τῆς ἀνθρωπίνης φύσεως, εἴτε ἐπάνοδον εἰς τό φῶς τῆς αἰωνίου ζωῆς. Τήν δέ Πεντηκοστήν ἑόρταζον εἰς ἀνάμνησιν τῆς ἐν τῇ ἐρήμῳ κακοπαθείας, καί ὅτι ὡς εἴπομεν, ἐν αὐτῇ ἔλαβον τόν νόμον· ὕστερον ἀπό τήν ὁποίαν κακοπάθειαν καί θλίψιν, ἔφθασαν καί εἰς

τήν γῆν τῆς ἐπαγγελίας, καί ἡμεῖς ὁμοίως διά πολλῶν θλίψεων εἰς τήν οὐράνιον καταντῶμεν μακαριότητα, κατά τήν ἀψευδῆ ἐπαγγελίαν τοῦ Ἀρχηγοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Περί τῆς Σκηνοπηγίας ἀρκετά εἶναι ἐκεῖνα ὁποῦ εἴπομεν εἰς τήν Μεσοπεντηκοστήν, καί περιττόν εἶναι νά λέγωμεν καί ἐδῶ τά ἴδια, καί μάλιστα ὁποῦ δέν εἶναι καμμία ἀνάγκη. Λοιπόν τό Πνεῦμα τό Ἅγιον ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς Ἁγίας Πεντηκοστῆς, εἰς τούς Μαθητάς ἐπεδήμησεν· ἐπειδή δέ οἱ Θεῖοι Πατέρες εὗρον εὔλογον νά διατάξουν κατά τήν αὔριον, ἤτοι τήν Δευτέραν, ἰδίᾳ, τοῦτ᾽ ἐστι χωριστά ἑορτήν αὐτοῦ τοῦ Ἁγίου Πνεύματος, αὔριον θέλομεν εἰπῆ καί ἡμεῖς ὅσα ἀνήκουσιν εἰς αὐτήν τήν ἐπιδημίαν τοῦ Ἁγίου Πνεύματος.

Ταῖς τῶν Ἁγίων Ἀποστόλων σου πρεσβείαις Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.





ΔΕΥΤΕΡΑ
ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

Τῇ αὐτῇ ἡμέρᾳ, Δευτέρᾳ τῆς Πεντηκοστῆς, αὐτό τό πανάγιον, καί ζωοποιόν, καί παντοδύναμον ἑορτάζομεν Πνεῦμα, τόν ἕνα τῆς Τριάδος Θεόν, τό ὁμότιμον, καί ὁμοούσιον, καί ὁμόδοξον τῷ Πατρί καί τῷ Υἱῷ.

Α΄

Κατ' αὐτήν μέν τήν ἡμέραν τῆς Πεντηκοστῆς, τοῖς ἁγίοις Ἀποστόλοις οὐσιωδῶς ἐπεδήμησεν ἐν εἴδει πυρίνων γλωσσῶν, καθίσαν ἐφ' ἕνα ἕκαστον αὐτῶν ἐν τῷ ὑπερῴῳ, ἐν ᾧ ἦσαν καταμένοντες· διά δέ τήν εἰς τό ἅγιον Πνεῦμα τιμήν, καί μεμερισμένως, καί ἐν τῇ αὐτῇ τῇ Πεντηκοστῇ ἐθέσπισαν ἑορτάζειν αὐτό, οἱ τά πάντα καλῶς διαταξάμενοι θεῖοι Πατέρες. Ἐπαγγειλάμενος γάρ ὁ Σωτήρ πρό τοῦ Πάθους τήν τοῦ Παρακλήτου ἔλευσιν, εἰπών· Συμφέρει, ἵνα ἐγώ ἀπέλθω· ἐάν γάρ ἐγώ μή ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται. Καί πάλιν· Ὅταν δέ ἔλθῃ ἐκεῖνος, διδάξει ὑμᾶς, καί ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τήν ἀλήθειαν. Καί αὖθις· Ἐρωτήσω τόν Πατέρα, καί ἄλλον Παράκλητον πέμψει ὑμῖν, τό Πνεῦμα τῆς ἀληθείας, ὅ παρά τοῦ Πατρός ἐκπορεύεται.

Καί μετά τό Πάθος δέ πάλιν, ὅτε καί πρός οὐρανόν ἀνιών, εἶπεν· Ὑμεῖς δέ περιμείνατε ἐν Ἰερουσαλήμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Ταῦτα οὖν ἐπαγγειλάμενος πέμπει αὐτό.

Περιμενόντων γάρ αὐτῶν, ἐν τῷ συμπληροῦσθαι τήν ἡμέραν τῆς Πεντηκοστῆς, περί ὥραν τρίτην τῆς ἡμέρας, ἐν τῷ ὑπερῴῳ, αἴφνης βροντή οὐρανόθεν ἐγένετο, ὡς καί τό πλῆθος τῆς οἰκουμένης διαδραμεῖν· καί, ἐν εἴδει πυρίνων γλωσσῶν, ὤφθη τό Πνεῦμα τό ἅγιον ἑνί αὐτῶν ἑκάστῳ, οὐ μόνον τῶν Δώδεκα, ἀλλά καί τῶν Ἑβδομήκοντα, καί ἐλάλουν ξέναις γλώσσαις, ἤτοι, εἷς ἕκαστος τῶν Ἀποστόλων πάσας τάς τῶν ἐθνῶν ἐλάλει γλώσσας· οὐ μέν τοι τήν ἰδίαν τοῦ Ἀποστόλου λέγοντος, ὁ ἀλλόφυλος ἤκουεν, ἀλλά τήν ἑκάστου ἔθνους ὁ Ἀπόστολος ἤκουε, καί ἐλάλει· ὅθεν καί τοῖς συνειλεγμένοις μεθύειν ἔδοξαν· μή γινώσκων γάρ ἕκαστος, πῶς ὁ Ἀπόστολος πᾶσι κατά μέρος διελέγετο, μεθύειν αὐτόν ὑπελάμβανον. Ἄλλοι δέ ἐθαύμαζον λέγοντες· Τί ἄν θέλῃ τοῦτο
336 εἶναι; Ἦσαν δέ οὗτοι ἐκ τῆς ἁπανταχοῦ γῆς συνειλεγμένοι διά τήν Ἑορτήν, Πάρθοι, Μῆδοι, καί Ἐλαμῖται, ὑπό Ἀντιόχου πρό ὀλίγου αἰχμάλωτοι γεγονότες.

Μετά γοῦν τήν Ἀνάληψιν, δέκα παρελθουσῶν ἡμερῶν, ἐπιδημεῖ τό Πνεῦμα τό ἅγιον, καί οὐ παραυτίκα τῷ ἀναληφθῆναι, ἵνα θερμοτέρους μᾶλλον ποιήσῃ τούς Μαθητάς, ἐκδεχομένους αὐτό. Φασί δέ τινες, ὅτι καθ' ἑκάστην τῶν ἡμερῶν, ἕν ἕκαστον τῶν ἀγγελι-

κῶν ταγμάτων προσιόν, τήν θεωθεῖσαν ἐκείνην σάρκα προσεκύνει. Τῶν οὖν ἐννέα πληρωθεισῶν ἡμερῶν, τῇ δεκάτῃ ὁ Παράκλητος ἐπεδήμησε, τῆς καταλλαγῆς γενομένης διά τοῦ Υἱοῦ. Μετά δέ πεντήκοντα ἀπό τοῦ Πάσχα, εἰς ὑπόμνησιν τοῦ παλαιοῦ νόμου· ὁ γάρ Ἰσραήλ, ἐξ οὗ τήν Ἐρυθράν διεπεραιώθη, πεντήκοντα παρελθουσῶν ἡμερῶν, τόν Δεκάλογον ἔλαβεν. Ὅρα δέ καί τά σύμβολα· ἐκεῖ ὄρος, ὧδε ὑπερῷον· ἐκεῖ πῦρ, ὧδε γλῶσσαι πύριναι· ἀντί δέ βροντῶν καί γνόφου, πνοή βιαία ἐνταῦθα.

Ἐν εἴδει μέν οὖν γλωσσῶν κατῆλθε τό Πνεῦμα τό ἅγιον, ὅτι οἰκείως ἔχειν πρός τόν ζῶντα Λόγον παραδηλοῖ· ἤ καί ὅτι οἱ Ἀπόστολοι διδάσκειν, καί ἐπάγειν τά ἔθνη διά γλώσσης ἔμελλον· πυρίνων δέ, ὅτι ὁ Θεός πῦρ καταναλίσκον ἐστί, καί ἔτι, διά τήν κάθαρσιν· μεριζομένων δέ διά τά χαρίσματα. Καί ὥς περ ποτέ, τούς τήν μίαν γλῶσσαν ἐπισταμένους, εἰς πολλάς διεῖλε καί συνέχεεν, οὕτω καί νῦν, τούς τήν μίαν γλῶσσαν ἐπισταμένους, εἰς πολλάς ἐμέρισεν, ἵνα συνάξῃ τούς ὑπ' ἐκείνων τῶν γλωσσῶν, εἰς τά πέρατα τῆς οἰκουμένης διασπαρέντας. Ἐν Ἑορτῇ δέ γίνεται, ἵνα, πλειόνων ἀθροισθέντων, ἁπανταχοῦ τό πρᾶγμα ἐξηχηθείη· καί ἵνα, οἱ ἐν τῷ Πάσχᾳ τυχόντες, καί τά ἐπί τῷ Χριστῷ γεγενημένα ἰδόντες, θαυμάζειν ἔχωσιν. Ἐν τῇ Πεντηκοστῇ δέ, ὅτι ἐχρῆν, καθ' ὅν καιρόν τό πρίν ὁ νόμος ἐδόθη, κατ' αὐτόν καί τήν τοῦ Πνεύματος χάριν ἐκκενωθῆναι·

καθά καί ὁ Χριστός ἐποίησεν, ἐν τῷ νομικῷ Πάσχᾳ, οἰκεῖον Πάσχα τελέσας, τό ἀληθινόν Πάσχα.

Οὐκ εἰς τό στόμα δέ ἐκάθισε τό Πνεῦμα, ἀλλ' εἰς τάς κεφαλάς τῶν Ἀποστόλων, τό ἡγεμονικόν περιλαμβάνον, καί τό ὑπερφέρον τοῦ σώματος καί αὐτόν τόν νοῦν, ἀφ' οὗ καί ἡ γλῶσσα τό λέγειν ἔχει· ἤ καί ὅτι, τρόπον τινά φωνήν διά τῆς γλώσσης τό Πνεῦμα ἀφίησιν, ὡς χειροτονεῖ τούς Ἀποστόλους, διά τῶν κεφαλῶν, ἁπάσης τῆς ὑπ' οὐρανόν διδασκάλους· ἡ γάρ χειροθεσία ἐν τῇ κορυφῇ γίνεται. Ὁ δέ ἦχος καί τό πῦρ, καί ὅτι ἐν Σιναίῳ ταῦτα ἐγένετο· ὡς ἄν δειχθείη τό αὐτό Πνεῦμα εἶναι καί τότε καί νῦν τό νομοθετοῦν καί πάντα διαταττόμενον. Συνεχύθη δέ τό πλῆθος τῷ τῆς πνοῆς ἤχῳ, ὅτι ἔδοξαν τέλος σχεῖν, ὅσα τοῖς Ἰουδαίοις ὁ Χριστός, περί τῆς αὐτῶν καταστροφῆς προήγγειλεν. Ὡσεί πυρός δέ εἶπεν, ἵνα μηδέν τι σωματικόν ἐννοήσῃ τις περί τοῦ ἁγίου Πνεύματος.

Μέθην οὖν κατακρίνονται οἱ Ἀπόστολοι· ἀλλ' ὁ
338 Πέτρος σταθείς, καί δημηγορήσας ἐπί μέσῳ τῷ πλήθει, τοῦτο ἀπήλεγξε μή ἀληθείας ἐχόμενον, τήν τοῦ Ἰωήλ Προφητείαν ἐν τῷ λόγῳ παραγαγών· καί ἐχειρώσατε ἐξ αὐτῶν ὡσεί χιλιάδας τρεῖς.

Παράκλητος δέ τό Πνεῦμα τό ἅγιον λέγεται, ὡς παραμυθεῖσαι καί ἀναψύχειν ἡμᾶς δυνάμενον· ἀντί γάρ τοῦ Χριστοῦ, τοῦτο ἐλάβομεν, κἀκεῖνο δι' αὐτοῦ ἔχοντες· καί ὅτι ἐντυγχάνει ὑπέρ ἡμῶν, φωναῖς ἀλα-

λήτοις πρός τόν Θεόν ὡς φιλάνθρωπον, ἡμῶν προϊστάμενον, καθά δῆτα καί ὁ Χριστός. Παράκλητος γάρ κἀκεῖνος· διά τοῦτο γάρ καί ἄλλος Παράκλητος τό Πνεῦμα τό ἅγιον λέγεται· φησί γάρ ὁ Ἀπόστολος· Ἔχομεν Παράκλητον Ἰησοῦν τά πρός τόν Θεόν. Ἄλλος δέ εἴρηται, διά τό Ὁμοούσιον· τό γάρ ἄλλος καί ἄλλος, ἐπί ταυτουσίων καί ὁμοφυῶν· τό δέ ἄλλο καί ἄλλο, ἐπί διαφόρων οἴδαμεν φύσεων. Τοῦτο τό ἅγιον Πνεῦμα, ἔνεστι καί τῷ Πατρί καί τῷ Υἱῷ κατά πάντα· ὅθεν καί συνδημιουργεῖ τούτοις τό πᾶν, καί αὐτήν τήν ἐσομένην ἀνάστασιν, καί ὅσα βούλεται πράσσει, ἁγιάζει, ἀφορίζει, νεοποιεῖ, ἀποστέλλει, σοφίζει, χρίει Προφήτας· ἁπλῶς εἰπεῖν ἅπαντα, αὐτεξούσιον ὄν, παντοδύναμον, ἀγαθόν, εὐθές, ἡγεμονικόν. Δι' αὐτοῦ πᾶσα σοφία, ζωή, κίνησις εἴτι μετέχον ἁγιωσύνης, καί παντοίας ζωῆς, ἁπλῶς ὅσα ἔχει ὁ Πατήρ, καί ὁ Υἱός, πλήν τῆς ἀγεννησίας καί τῆς γεννήσεως, παρά τοῦ Πατρός ἐκπορευόμενον.

Ἐκχυθέντος οὖν ἐπί πᾶσαν σάρκα τοῦ Πνεύματος, ὁ κόσμος παντοίων χαρισμάτων ἐμπέμπλησται, καί δι' αὐτοῦ τά ἔθνη πάντα πρός θεογνωσίαν ἐχειραγωγήθησαν, καί πᾶσα νόσος, καί πᾶσα μαλακία ἐξώρισται. Τρισσῶς δέ τοῖς Μαθηταῖς ἐδόθη παρά Χριστοῦ τό Πνεῦμα τό ἅγιον· Πρό τοῦ πάθους, ἀμυδρῶς λίαν· μετά τήν ἀνάστασιν, δι' ἐμφυσήματος ἐμφανέστερον· καί νῦν κατέπεμψε τοῦτο οὐσιωδῶς· μᾶλλον δέ αὐτό

κατῆλθε, τελεώτερον φωτίζον, καί ἁγιάζον αὐτούς· καί δι' αὐτῶν πάλιν οἰκουμένης τά πέρατα οἰκειούμενον.

Τῇ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος, πρεσβείαις τῶν Ἀποστόλων σου, Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Β΄

Τῇ δευτέρᾳ ἡμέρᾳ μετά τήν Ἁγίαν Πεντηκοστήν, ἑορτάζομεν τό πανάγιον, καί ζωοποιόν, καί παντοδύναμον Πνεῦμα, δηλαδή τό τρίτον πρόσωπον τῆς Ἁγίας Τριάδος, τό ὁμότιμον, καί ὁμόδοξον, καί ὁμοούσιον τῷ Πατρί καί τῷ Υἱῷ. Ἐπειδή γάρ Τριάς ἡμῖν ἐστι τό πιστευόμενον καί λατρευόμενον, ἤτοι Πατήρ, Υἱός, καί Ἅγιον Πνεῦμα, ὁ μέν Πατήρ καί πάλαι ἦν γνωστός, καί ὡς Πατέρα οἱ Ἑβραῖοι ἐτίμων καί ἐλάτρευον αὐτόν μέ τάς νομικάς θυσίας καί ἑορτάς. Ἐγνωρίσθη μετά ταῦτα, καί τό δεύτερον πρόσωπον ὁ Υἱός, ἐπιδημήσας εἰς τόν κόσμον, διά σαρκός, καί τιμᾶ τούτου ἡ Ἐκκλησία τήν ἄσπορον γέννησιν, καί τάς λοιπάς μυστηριώδεις ἑορτάς. Τό Πνεῦμα τό Ἅγιον ἔμενεν ἄγνωστον, καί ἀφανέρωτον εἰς τόν κόσμον· καί κατά τοῦτο ἔλεγε καί ὁ Εὐαγγελιστής Ἰωάννης, οὔπω ἦν Πνεῦμα τό Ἅγιον· ὄχι πώς ἕως τότε ἀκόμη δέν ἦτον, ἄπαγε τῆς βλασφημίας· τό Πνεῦμα τό Ἅγιον, ἦν ἀεί καί ἔστι καί ἔσται, συνάναρχον καί

συναΐδιον τῷ Πατρί καί τῷ Υἱῷ· ἀλλ' οὔπω ἦν Πνεῦμα Ἅγιον, ἤγουν ἀκόμη δέν εἶχε φανερωθῇ κοινῶς εἰς τόν κόσμον, ἀκόμη δέν εἶχε γνωρισθῇ τρίτον πρόσωπον τῆς Ἁγίας Τριάδος, ἀκόμη δέν εἶχον μάθει πώς εἶναι ἄλλος Παράκλητος. Λοιπόν, ἐπειδή εἰς τήν ἡμέραν τῆς Ἁγίας Πεντηκοστῆς, κατά τήν ἁγίαν ἐπαγγελίαν τοῦ Σωτῆρος, κατέβη εἰς τούς Μαθητάς τοῦ Χριστοῦ τό Πνεῦμα τό Ἅγιον, καί ἐκατέβη μέ τρόπον καί δόξαν, μέ εἶδος καί σχῆμα πυρίνων γλωσσῶν, καί ἐπάνω εἰς τάς κεφαλάς αὐτῶν ἐκάθισε, καί ὅλοι ἐγεμίσθησαν ἀπό τήν ἀκένωτον χάριν καί σοφίαν τοῦ Θεοῦ, καί ἐλάλουν παράδοξα καί ἐξαίσια πράγματα, καί ἐπροφήτευσαν, καί μέ ὅλα ταῦτα ἐγνωρίσθη πώς εἶναι ἕν ἄλλο πρόσωπον, καί μία ἄλλη ὑπόστασις, παρά τόν Πατέρα, καί τόν Υἱόν· διά τοῦτο οἱ θεῖοι Πατέρες ἐθέσπισαν νά ποιῶμεν σήμερον ἑορτήν χωριστήν αὐτοῦ τοῦ νῦν φανερωθέντος παναγίου καί ζωοποιοῦ Πνεύματος, ὡς ὁδηγοῦ, καί συνεργοῦ, καί συναιτίου τῆς σωτηρίας μας. Λέγει λοιπόν ὁ θεῖος Λουκᾶς, ὅτι δεξάμενοι οἱ Ἅγιοι Ἀπόστολοι τήν χάριν τοῦ παναγίου Πνεύματος, ἐλάλουν καί ἑτέραις γλώσσαις, καθώς τό Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι, καί τό πλῆθος ὁποῦ ἦτον παρόν, ἤκουον εἷς ἕκαστος, τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν· τό ὁποῖον τινές ἐξήγησαν, ὅτι λαλούντων τῶν Ἀποστόλων τήν ἐδικήν των πάτριον φωνήν, ἤτοι τήν Ἑβραϊκήν, οἱ ἄνθρωποι ὁποῦ ἦτον ἐκεῖ συνηγμένοι ἀπό διάφορα μέρη τοῦ

κόσμου, Πάρθοι καί Μίδαι, καί Μεσοποταμῖται, καθ' εἷς μέ τήν ἐδικήν του γλῶσσαν, καί ὄχι τήν Ἑβραϊκήν, τούς ἤκουον, ἤτοι κατελάμβανον τί ἔλεγον. Ἀλλ' ὁ Θεολόγος Γρηγόριος, καί μετ' αὐτοῦ οἱ ἄλλοι πάντες, λέγουσιν, ὅτι ἡ ἐξήγησις αὕτη δίδει τό θαῦμα εἰς τούς ἀκούοντας, καὶ ὄχι εἰς τούς Ἀποστόλους· καί διά τοῦτο λέγουσι, πώς οἱ Ἀπόστολοι ἐλάλουν ὅλας τάς γλώσσας· καί τοῦτο ἦτον τό μέγα θαῦμα τοῦ Ἁγίου Πνεύματος, ὅτι ἐκεῖνοι ὁποῦ δέν ἤξευρον ἄλλην γλῶσσαν, πάρεξ τήν Ἑβραϊκήν, ἐκείνην τήν ἡμέραν ἔξαφνα ἐλάλουν τάς διαφόρους γλώσσας, καί ἤκουον ἐκεῖνοι ὁποῦ εἶχον συναχθῆ ἀπό τά τετραπέρατα τοῦ κόσμου, διά τό Πάσχα εἰς τήν Ἱερουσαλήμ, ὡσάν ὁποῦ δέν τοῖς ἦτο συγκεχωρημένον νά κάνουν τό Πάσχα, εἰς ἄλλον τόπον, ἔξω ἀπό τήν Ἱερουσαλήμ. Λοιπόν καθ' εἷς ἀπό τοὺς Ἀποστόλους, ὅλους ἐλάλει τάς ἄλλας γλώσσας· καί τοῦτο ἀναγκαίως ἡ χάρις τοῦ παναγίου Πνεύματος οὕτως ἐνήργησε, διότι ἔμελλον νά ἐξέλθωσι νά κηρύξουν τήν πίστιν εἰς τά ἔθνη
342 τά ἀλλόγλωσσα, καί ἔπρεπε νά τοῖς κηρύττουν, ὄχι μέ τήν Ἑβραϊκήν, τήν ὁποίαν δέν ἤξευρον, ἀλλά μέ τήν ἐδικήν των, μέ τήν ὁποίαν ἐγεννήθησαν. Ἀλλά καί ἐβάσταξε τό χάρισμα τοῦτο τῶν γλωσσῶν, καί μετά ταῦτα, καί εἰς ἄλλους τόπους, καί μάλιστα εἰς τήν Ἐκκλησίαν τῶν Κορινθίων, καθώς καί ἐκ τῶν ἐπιστολῶν τοῦ θείου Παύλου τό μανθάνομεν· «ἐν πυρίναις δέ γλώσσαις κατέβη τό Πνεῦμα τό Ἅγιον». Καί αἱ μέν γλῶσσαι

ἐφανέρωνον ὅτι ἴδιον καί οἰκεῖον τοῦ Θεοῦ λόγου εἶναι τό Πνεῦμα τό Ἅγιον, ἤ ὅτι καί οἱ Ἀπόστολοι μέ γλώσσας ἔμελλον νά διδάξουν καί νά ἑλκύσουν τόν κόσμον πρός ἐπίγνωσιν καί ἑνότητα, τό ἐναντίον τοῦ μερισμοῦ τῶν γλωσσῶν, ἐπί τῆς Πυργοποιΐας· αἱ δέ πύριναι ἐδήλουν, ὅτι ὁ Θεός πῦρ καταναλίσκον ἐστί, καί ἐνταὐτῷ καί τήν κάθαρσιν, ὅτι καθαρτικόν εἶναι τό πῦρ. Ἐν ἑορτῇ δέ μεγάλῃ, ἔγινεν ἡ τοῦ Ἁγίου Πνεύματος ἐπιφοίτησις, καί τοιαύτη μάλιστα, ἤγουν ἐπίσημος καί ἐπιφανής, διά νά γένῃ πανταχοῦ τό πρᾶγμα ἐξακουστόν, μέ τό νά ἦτον πλῆθος πάμπολυ ἀνθρώπων πανταχόθεν συναθροισθέντων, καί νά θαυμάσωσιν ἰδόντες καί ἀκούσαντες τά παράδοξα, καί οἱ αὐτοί ἀντί τῶν Ἀποστόλων νά γένουν κήρυκες ἐπιστρέψαντες εἰς τάς πατρίδας των. Παρατηροῦσι δέ καλῶς καί τοῦτο, ὅτι ὡσεί πυρός, ἤτοι ὡσάν πυρός, εἶπεν ὁ ἱερός Λουκᾶς, διά νά μή νομίσῃ τίς, ὅτι πυρός φύσιν ἔχει τό Πνεῦμα τό Ἅγιον· ἄπαγε· μή στοχασθῇ κανείς τίποτε ὑλικόν ἤ σωματικόν περί τοῦ Πνεύματος, ἀλλ᾽ οὕτως ἐφάνη, διά τά ἀνωτέρω αἴτια. Εἰς τάς κεφαλάς τῶν Ἀποστόλων ἐκάθισεν, ὅτι καί ἡ χειροθεσία εἰς τήν κεφαλήν γίνεται· καί ἡ χάρις τοῦ Πνεύματος Διδασκάλους καί Ποιμένας τοῦ κόσμου ὅλου τούς Ἀποστόλους ἐχειροτόνησε· καί τοῦτο δέ χωρίς ἄλλο πρέπει νά ἠξεύρωμεν, ὅτι τήν χάριν τοῦ Πνεύματος οἱ Ἀπόστολοι ἔλαβον, ὄχι τήν ὑπόστασιν· ἡ γάρ ὑπόστασις οὐ πέμπεται, λέγει ὁ θεῖος Χρυσόστομος. Ὁ

δέ Χριστός ὑπεσχέθη νά πέμψῃ εἰς τούς Μαθητάς του τό Πνεῦμα τό Ἅγιον, καί τό ἔπεμψεν ἤτοι τήν Χάριν, ἀλλά πολύ διαφορετικώτερον παρά ὁποῦ εἰς τούς Προφήτας ἐδίδετο· οἱ γάρ Ἀπόστολοι ἐδέχθησαν ὅλα τά χαρίσματα τοῦ Πνεύματος, ἀπό τά ὁποῖα ἕν ἤ δύω μόνον εἰς τούς παλαιούς Προφήτας ἐδίδοντο. Ἄλλος δέ Παράκλητος ὀνομάζεται τό Πνεῦμα τό Ἅγιον· ὅτι καί ὁ Χριστός Παράκλητος ἔστι τε καί λέγεται, καθώς τόν ὀνομάζει καί ὁ Ἀπόστολος· Παράκλητος μέν, ὅτι παραμυθεῖται καί ἀναψύχει ἡμᾶς, καί ὅτι ἐντυγχάνει ὑπέρ ἡμῶν πρός τόν Θεόν· ἄλλος δέ, διότι ὁμοούσιος τῷ Υἱῷ καί τῷ Πατρί.

Τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, πρεσβείαις τῶν Ἀποστόλων σου Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.





ΚΥΡΙΑΚΗ
ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ

Τῇ σήμερον ἡμέρᾳ, Κυριακῇ μετά τήν Πεντηκοστήν, τήν τῶν ἁπανταχοῦ τῆς οἰκουμένης ἐν Ἀσίᾳ, Λιβύῃ καί Εὐρώπῃ, Βορρᾷ τε καί Νότῳ, Ἁγίων πάντων Ἑορτήν ἑορτάζομεν.

Α΄

Τήν παροῦσαν Ἑορτήν, μετά τήν τοῦ παναγίου Πνεύματος κάθοδον, οἱ θειότατοι Πατέρες ἡμῶν ἐθέσπισαν ἐκτελεῖν, ὡσανεί τρόπον τινα ἐνδεικνύμενοι, ὅτι ἡ τοῦ παναγίου Πνεύματος παρουσία, τοιαῦτα διά τῶν Ἀποστόλων ἐνήργησεν, ἁγιάσασα, καί σοφίσασα τούς ἀπό τοῦ ἡμετέρου φυράματος, καί εἰς ἀποπλήρωσιν τοῦ ἐκπεπτωκότος ἐκείνου τάγματος ἀγγελικοῦ, τούτους ἀποκαταστήσασα, καί Θεῷ διά τοῦ Χριστοῦ παραπέμψασα, τούς μέν, διά τοῦ μαρτυρίου καί αἵματος, τούς δέ, δι᾽ ἐναρέτου πολιτείας καί ἀγωγῆς· καί τά ὑπέρ φύσιν διαπράττεται. Κάτεισι μέν γάρ τό Πνεῦμα ἐν εἴδει πυρός, φύσει τήν ἀνωτάτω ῥοπήν ἔχοντος· ἄνεισι δέ πρός τά ἄνω ὁ χοῦς, φύσει κατάῤῥοπος ὢν καί τό ἡμέτερον φύραμα, πρό βραχέος μέν, ἡ προσληφθεῖσα

καί θεωθεῖσα τῷ Θεῷ Λόγῳ σάρξ, ὑψωθεῖσα, καί ἐκ δεξιῶν τῆς Πατρικῆς δόξης καθίσασα· νῦν δέ καί πάντας ἕλκει τούς βουλομένους, ὡς ἡ ὑπόσχεσις, ὥσπερ τοῦ Θεοῦ Λόγου ἐνδεικνυμένου τά τῆς καταλλαγῆς ἔργα, καί τί τό σκοπιμώτατον τέλος τῆς πρός ἡμᾶς διά σαρκός παρουσίας αὐτοῦ καί οἰκονομίας· ὅτι τούς πρίν ἀπωσμένους εἰς ἕνωσιν καί φιλίαν ἄγει Θεοῦ, τόν ἀγνώμονα ἐξ ἐθνῶν λαόν τῆς ἀνθρωπίνης φύσεως, οἱονεί τινας ἀπαρχάς, προσφερούσης Θεῷ, τούς ἐν ταύτῃ διαφερόντως εὐδοκιμήσαντα. Καθ' ἕνα μέν οὖν τρόπον, οὕτω τήν τῶν Ἁγίων πάντων ἑορτήν ἑορτάζομεν.

Κατά δεύτερον δέ, ἐπειδή πολλοί μέν εὐηρέστησαν τῷ Θεῷ, δι' ἀρετήν δέ ἄκραν, καί ἀλλοτρόπως, ἀνώνυμοι παρ' ἀνθρώποις ἐγένοντο, ἤ καί διά τινα ἴσως τῶν ἀνθρωπίνων, πολλήν δέ ὅμως πρός Θεόν δόξαν ἔχοντες. Ἤ καί ὅτι, πολλοί μέν κατά Χριστόν ἐπολιτεύσαντο ἐν Ἰνδοῖς, καί Αἰγυπτίοις, καί Ἄραψι, Μεσοποταμίᾳ τε καί Φρυγίᾳ, καί τοῖς ἄνωθεν τοῦ Εὐξείνου· ἔτι δέ ἐν πάσῃ τῇ Ἑσπέρᾳ, ἄχρι καί αὐτῶν τῶν Βρεταννικῶν νήσων· ἁπλῶς εἰπεῖν, ἐν Ἀνατολῇ καί Δύσει· οὐκ ἦν δ' εὐπετές τούτους ἅπαντας ὡς χρεών τιμῆσαι διά τήν ἀπειρίαν, καθά ἡ Ἐκκλησιαστική παρελήφθη συνήθεια. Ἵνα τοίνυν καί τήν παρ' ἐκείνων πάντων βοήθειαν ἐπισπώμεθα, ὅπου δήποτε γῆς τῷ Θεῷ εὐηρέστησαν, ἄλλως τε, καί διά τούς ἐπιγενησομένους ἴσως Ἁγίους, τήν τῶν Ἁγίων πάντων Ἑορτήν οἱ θειότατοι Πατέρες ἑορτάζειν ἐθέσπι-

σαν, πάντας τούς τε πρότερον καί ὕστερον, ἀφανεῖς τε καί ἐμφανεῖς (ὅσους δή τό Πνεῦμα τό ἅγιον, σκηνῶσαν ἡγίασε), τιμῶντες καί συμπεριλαμβάνοντες.

Ἤ καί τρίτον· ἐχρῆν τούς κατά μέρος ἐφ' ἑκάστης ἡμέρας ἑορταζομένους Ἁγίους, καί μιᾷ συναχθῆναι ἡμέρᾳ· ἵνα δειχθείη, ὡς ὑπέρ ἑνός Χριστοῦ ἠγωνίσαντο, καί πάντες τό αὐτό τῆς ἀρετῆς ἔδραμον στάδιον, καί οὕτω πάντες, ὡς ἑνός Θεοῦ δοῦλοι, ἀξίως ἐστεφανώθησαν, καί τήν Ἐκκλησίαν οὗτοι συνέστησαν, τόν ἄνω κόσμον ἀναπληρώσαντες· διερεθίζοντες δέ καί ἡμᾶς, τόν ἴσον ἀγῶνα τούτοις ἀνύειν, διάφορον ὄντα καί πολυειδῆ, πρός ὅ,τι ἕκαστος ἔχει δυνάμεως, ὅλῃ προθυμίᾳ ἐπείγεσθαι.

Τούτοις δή τοῖς ἀπ' αἰῶνος Ἁγίοις ἅπασι, Λέων ὁ ἀοίδιμος καί σοφώτατος Βασιλεύς, ναόν μέγιστον καί περικαλλῆ ἀνεδείματο· ἔγγιστα δέ ἐστιν οὗτος τοῦ τῶν ἁγίων Ἀποστόλων νεώ, τῆς Κωνσταντίνου ἐντός, τά μέν πρῶτα, Θεοφανοῖ τῇ αὐτοῦ πρώτῃ, ὥς φασι, γυναικί, τοῦτον οἰκοδομῶν, εὐαρεστησάσῃ κατ' ἄκρον τῷ Θεῷ· καί τό δή παράδοξον, ἐν μέσῳ θορύβων, καί τῶν βασιλείων ἐντός. Ἐπεί δέ τῇ ἐκκλησίᾳ κοινωσάμενος τόν σκοπόν οὐκ ἔσχε πειθομένην ταύτην τῷ αὐτοῦ θελήματι· ἅμα μέν τό τοῦ Βασιλέως ἔχουσαν φρόνημα, ὁμοῦ δέ καί μή δεῖν εἶναι λογισαμένην τήν χθές, καί πρότριτα βασιλικῇ φαντασίᾳ, καί τρυφῇ φθειρομένην, ἐξ αὐτῆς οὕτως τιμῆσαι, ὡς καί ναῷ σεμνῆναι μεγαλο-

πρεπεῖ τε καί ἐξαισίῳ, μή καί τοῦ χρόνου παρασχόντος ταύτῃ τό τίμιον, καί σεβάσμιον, καί ὅτι τῷ Θεῷ εὐηρέστησεν· ὁ σοφώτατος Βασιλεύς, συνευδοκούσης καί τῆς Ἐκκλησίας ἁπάσης, τόν ἀνεγερθέντα δόμον, τοῖς ἁπανταχοῦ τῆς γῆς πᾶσιν, Ἁγίοις ἀνέθετο, εἰπών· εἰ καί Θεοφανώ Ἁγία, μετά τούτων πάντων συναριθμείσθω.

Ἐγώ δέ οἶμαι, κἀντεῦθεν ἐπί μᾶλλον σχεῖν τήν ἀρχήν, καί τήν παροῦσαν Ἑορτήν ἑορτάζεσθαι, οὖσαν καί πρότερον· τούτου δέ χάριν καί ὑστέραν τῷ Τριωδίῳ κεῖσθαι, ἄρδην πάσας τάς Ἑορτάς περικλείουσαν ὡς φραγμόν. Ἡ γάρ τῆς Ἐκκλησίας εὐταξία τε καί κατάστασις, κἄν ἄνωθεν ἤρξατο, κατ' ὀλίγον ἄριστα καθισταμένη, καί ὡς ἐχρῆν, ἀλλ' οὖν ἐν ταῖς ἡμέραις τοῦ Βασιλέως τούτου, εἰς τό παντελές κατέστη καί ἐτυπώθη ὡς νῦν ἔχει τάξεώς τε καί καταστάσεως. Τό δέ Τριῴδιον, ὡς ἐν βραχεῖ φάναι, περιέχει ἐντός διηγούμενον ἐμμελῶς, ὅσα Θεός περί ἡμᾶς ἀῤῥήτοις λόγοις ἐνήργησε· τήν τοῦ Διαβόλου ἐξ οὐρανοῦ ἔκπτωσιν, διά τῆς πρώτης παρακοῆς· τήν ἐξορίαν τοῦ Ἀδάμ καί παράβασιν· τήν δι' ἡμᾶς τοῦ Θεοῦ Λόγου οἰκονομίαν ἅπασαν· καί ὅπως εἰς οὐρανούς διά τοῦ ἁγίου Πνεύματος, αὖθις ἀνεβιβάσθημεν, καί τό ἐκπεπτωκός ἐκεῖνο τάγμα ἀνεπληρώσαμεν, ὅ διά τῶν Ἁγίων πάντων γνωρίζεται.

Ἰστέον δέ, ὡς ἅπαντα νῦν ἑορτάζομεν, ὅσα ἀγαθοδότως ἡγίασε τό Πνεῦμα τό ἅγιον· λέγω δή τούς ὑψηλοτάτους καί ἁγιαστικούς νόας, τά ἐννέα δηλαδή

τάγματα· τούς Προπάτορας καί Πατριάρχας· τούς Προφήτας, καί τούς ἱερούς Ἀποστόλους· τούς Μάρτυρας, καί τούς Ἱεράρχας· τούς Ἱερομάρτυρας καί Ὁσιομάρτυρας· τούς Ὁσίους καί Δικαίους, καί ἁπάσας τῶν ἁγίων Γυναικῶν χορείας, καί τούς ἄλλους ἅπαντας ἀνωνύμους Ἁγίους· μεθ' ὧν ἔστωσαν καί οἱ ἐπιγενησόμενοι. Πρό δέ πάντων, καί ἐν πᾶσι, καί μετά πάντων, τήν τῶν Ἁγίων Ἁγίαν, τήν ὑπεραγίαν, καί αὐτῶν ὑπερασυγκρίτως κρείττονα τῶν ἀγγελικῶν ταγμάτων, τήν Κυρίαν ἡμῶν καί Δέσποιναν Θεοτόκον, Μαρίαν, τήν ἀειπάρθενον.

Ταῖς τῆς ἀχράντου σου Μητρός πρεσβείαις, Χριστέ ὁ Θεός, καί πάντων τῶν ἀπ' αἰῶνος Ἁγίων σου, ἐλέησον καί σῶσον ἡμᾶς, ὡς μόνος ἀγαθός καί φιλάνθρωπος. Ἀμήν.

Β΄

Εἰς τήν Κυριακήν ταύτην, ὁποῦ ἀκολουθεῖ ἀμέσως ὕστερον ἀπό τήν Ἁγίαν Πεντηκοστήν, ἐθέσπισαν οἱ θεῖοι Πατέρες νά ἐπιτελῶμεν τήν πανσέβαστον μνήμην ὅλων τῶν Ἁγίων, ὁποῦ ἐστάθησαν εἰς ὅλον τόν κόσμον. Καί κατ' ἀρχάς μέν οἱ ἀρχαιότατοι Πατέρες, ἐποίουν τήν ἑορτήν μόνον τῶν Μαρτύρων, τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτυρησάντων, καθώς μαρτυρεῖ καί ὁ ἐγκωμιαστικός Λόγος τοῦ θείου Χρυσοστόμου, εἰς τόν ὁποῖον μόνους τούς Μάρτυρας κοινῶς ὅλου τοῦ κόσμου ἐπαινεῖ. Οἱ

μεταγενέστεροι δέ ἐποίουν τήν ἑορτήν ταύτην κοινοτάτην, ὀνομάσαντες αὐτήν Κυριακήν τῶν Ἁγίων Πάντων, συμπεριλαμβάνοντες ἐν αὐτῇ καί Πατριάρχας, καί Προφήτας, καί Ἀποστόλους, καί Μάρτυρας, καί Ἱεράρχας, καί Ἀσκητάς, καί ὅλους ὁμοῦ τούς Δικαίους, κατά πᾶσαν ἡλικίαν καί γένος. Ἔχει δέ νόημα τοιοῦτον ἡ ἑορτή αὕτη· ὅτι ἐπειδή ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, πρό τοῦ πάθους εἶπεν· ὅτι ἐάν ἐγώ ὑψωθῶ πάντας ἑλκύσω πρός ἐμαυτόν, τό ὁποῖον ἦτον καί ὅλος ὁ σκοπός καί τό τέλος, ὁποῦ κατέβη εἰς τήν γῆν, καί ἐσαρκώθη καί ἔγινε τέλειος ἄνθρωπος, μείνας τέλειος Θεός ὁ αὐτός, διά νά σώσῃ δηλαδή τήν ἀνθρώπινον φύσιν, καί νά τήν ἀναβιβάσῃ εἰς τήν οὐράνιον μακαριότητα. Λοιπόν τήν προσληφθεῖσαν φύσιν εἰς τήν θείαν του ὑπόστασιν, τήν ἀνέβασεν εἰς τούς οὐρανούς μέ τήν θείαν του Ἀνάληψιν, καί τήν ἔκαμε συγκάθεδρον τῷ Θεῷ καί Πατρί. Ἀλλά μέ τοῦτο δέν ἐπληρώθη ἡ ὑπόσχεσις, ὁποῦ εἶπεν, ὅτι ἑλκύσω πάντας πρός ἐμαυτόν. Λοιπόν, ἔπεμψεν εἰς τούς
350 Ἁγίους του Ἀποστόλους τό πανάγιον Πνεῦμα, διά νά ὑπάγουν νά κηρύξουν, μέ τήν δύναμιν αὐτοῦ εἰς ὅλα τά ἔθνη τήν μίαν Θεότητα, καί νά συνάξουν τούς ἐκλεκτούς εἰς τήν Βασιλείαν τῶν Οὐρανῶν· τό ὁποῖον καί ἔκαμαν οἱ καλοί καί πιστοί ὑπηρέται μέ ὅλην τήν προθυμίαν, καί μέ ὅλην των τήν ψυχήν καί τήν καρδίαν, καί μέχρις αἵματος· καί ἐπληρώθη ὁ ἄνω κόσμος, ὅθεν τό ἀποστατικόν τάγμα ἐξέπεσε· καί τοῦτο λοιπόν εἶναι ὁποῦ σή-

μερον ἑορτάζομεν, ἤγουν τόν καρπόν τοῦ Ἀποστολικοῦ κηρύγματος. Λέγουσι δέ καί ἄλλην αἰτίαν τῆς κοινοτάτης ταύτης ἑορτῆς· ὅτι πολλοί μέν καί πάμπολλοι, καί παρ' ὀλίγον ἄπειροι, κατά διαφόρους τόπους καί κλίματα ἡγίασαν, τοῦ ὁποίους καί διά τό πλῆθος, καί διά τό εἶναι ἀνώνυμοι, δέν ἦτον δυνατόν νά τούς τιμήσωμεν κατά μέρος ἕνα ἕκαστον. Λοιπόν, διά νά ἔχωμεν καί τήν παρ' ἐκείνων βοήθειαν καί ἀντίληψιν διώρισεν ἡ Ἁγία Ἐκκλησία νά ἐπιτελῶμεν μίαν κοινῶς τῶν ἁπάντων ἑορτήν, καί ἐνταὐτῷ νά γίνηται ἡ αὐτή ἑορτή, καί διά ἐκείνους ὁποῦ μετά ταῦτα, ἤ μαρτυρήσουν, ἤ ἁπλῶς ἁγιάσουν· λέγουσι δέ ὅτι καί Λέων ὁ εὐσεβέστατος Βασιλεύς ὁ Σοφός ἐπωνομαζόμενος ἠθέλησε νά τιμήσῃ ὡς Ἁγίαν τήν πρώτην του γυναῖκα τήν Θεοφανώ, καί οὐκ ἐπένευσεν εἰς τήν βουλήν του ἡ Ἐκκλησία· ὅθεν ἔκτισε Ναόν περικαλλέστατον τῶν Ἁγίων Πάντων, καί εἶπεν, ἄν ἦναι καί ἡ Θεοφανώ Ἁγία, ἄς ἔμβῃ εἰς τούς πάντας. Εἶναι δέ τό περισσότερον καί τό κυριώτερον αἴτιον τῆς ἑορτῆς ταύτης, καθώς καί κάθε μερικοῦ Ἁγίου ἡ παρακίνησις ἡμῶν τῶν ζώντων, πρός τήν μίμησιν τῶν ἑορταζομένων, νά σπουδάζωμεν δηλαδή καί ἡμεῖς νά κατορθώσωμεν, τήν ἀξιέπαινον ζωήν ἐκείνων τῶν μακαρίων καί ἀοιδίμων δούλων τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Ταῖς πρεσβείαις τῶν ἀπ' αἰῶνος Ἁγίων σου Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον, καί σῶσον ἡμᾶς, ὡς μόνος ἀγαθός, καί φιλάνθρωπος. Ἀμήν.